PHOTII PATRIARCHAE

LEXICON.

PHOTII PATRIARCHAE

LEXICON.

RECENSUIT, ADNOTATIONIBUS INSTRUXIT ET PROLEGOMENA ADDIDIT

S. A. NABER.

VOLUMEN ALTERUM.

CONTINET LEXIC. Ο—Ω CUM APPENDICE ET INDICE.

LEIDAE, E. J. BRILL.
1865.

Ἀρχὴ τοῦ Ο ϛοιχείου.

Ὀαὶ τῶν ἱματίων· Ἀριϛοφάνης Δαιταλεῦσιν· — ὅτε τὰς ὀὰς ἴσας ἐποιήσατο· οἱ γὰρ παλαιοὶ καὶ ταύταις οἰὸς δέρμα προσέρραπτον, ἵνα ἥκιϛα τρίβοιντο [1].

ὀαρισμοί· διάλογοι.

ὀάς· μηλωτάς, οἶς γὰρ πρόβατον [2].

ὀάς· τὰς τῶν ἱματίων [3].

ὀβελίας ἄρτος· ὁ ἐπ' ὀβελῶν ὀπτώμενος· λέγονται δὲ καὶ ὀβελιαφόροι, οἱ ἐν τοῖς Διονυσίοις τοὺς ὀβελίας ἄρτους αἴροντες· ἐτάσσετο δὲ ἡ λέξις ἐπὶ τῶν ἐργατῶν καὶ ἀγροίκων [4].

ὀβελίας ἄρτος· περιπεπλασμένος μακρῷ ξύλῳ καὶ οὕτως ὀπτώμενος· γίνεται δὲ παραμήκης καὶ γαϛρώδης.

ὀβολὸν ἐκβαλεῖν· τὸ ἐλάχιϛον καὶ τὸ μηδὲν σημειωθῆναι [5].

---

[1]) Vide Eustathium qui p. 1828. 48 eadem laudat ex lexico rhetorico anonymo, e quo constat hic quidem ὀαί scribendum esse, quamquam legitima forma sit ᾤα. Indidem supple: ἵνα ἥκιϛα τρίβοιτο τὰ κάτω τῶν ἱματίων. Vide praeterea infra v. ὀάς bis et ᾤα. Poll. X. 182. Arist. Byz. apud Nauck. p. 197. Plura congesta in Thes. V. 1710 sq.

[2]) Aelius Dionysius apud Eustathium p. 1828. 48: ᾤα· μηλωτή, διφθέρα· οἶς γὰρ τὸ πρόβατον. Hinc suspecta mihi videtur forma ὄα pro ᾤα. Hermippus apud Polluc. X. 181: νικᾷ δ' ᾤα λιθίνην μάκτραν, de quo loco vide Meinek. Fragmt. Com. II. 403. Numquam ni fallor metrum requirit penultimam brevem.

[3]) Adde infra v. οἶαι.

[4]) Rectius Moeris ὠπτημένος. Antiatticista Bekk. p. 111. 7: Ὀβολίας ἄρτους· τοὺς ὀβολοῦ πωλουμένους. Ἀριϛοφάνης Πελαργοῖς. Plura Pierson. ad Moerid. Cf. Poll. VI. 75. Athen. III. 111 B.

[5]) Dobraeus quem vide mavult ζημιωθῆναι.

ὀβολός· ὁ τόκος· εἶδος νομίσματος· ὀβολὸς δὲ παρ' Ἀθηναίοις ἓξ ἐϛι χαλκῶν, ὁ δὲ χαλκοῦς λεπτῶν ἑπτά· τὸ δὲ τάλαντον τοῦ ἀργυρίου λιτρῶν τῶν νῦν τεσσάρων καὶ νομισμάτων ὀκτὼ καὶ ἕξ· ἡ δὲ μνᾶ ἑξηκοϛόν ἐϛι τοῦ ταλάντου· τὸ δὲ τάλαντον τοῦ χρυσίου ἑξαπλάσιόν ἐϛιν [1]).

ὀβολοῦ χίμαιρα· ἐν Ἅιδου [2]).

ὀβολὸς ἡλιαϛικός· ὃς τοῖς δικάζουσιν ἐδίδοτο.

ὀβολοϛάτης· δανειϛὴς ἐπ' ἐνεχύροις· ϛήσασθαι γὰρ τὸ δανείσασθαι [3]).

ὀβολοϛατῆσαι· τὸ λαβεῖν τόκους [4]).

ὄβριαι καὶ ὀβρίκαλα· τὰ τῶν λεόντων καὶ λύκων σκυμνία· Αἰσχύλος Δικτυουλκοῖς [5]).

ὀγκίαν· τὸν ϛαθμόν. Σώφρων καὶ Ἐπίχαρμος [6]).

ὀγκύλλεσθαι· ὑψαυχενεῖν· καὶ ὄγκους περιβάλλεσθαι, σεμνύνεσθαι [7]).

ὠγκυλμένος· ὑπερήφανος [8]).

ὀδαξησμός· κνησμὸς καὶ ὀδόντων τρισμός [9]).

ὀδαγός· διὰ τοῦ ἄλφα, οὐχ ὀδηγός [10]).

ὄδιος Ἑρμῆς· ὁ ἐνόδιος [11]).

ὀδακτάζειν· δάκνειν [12]).

---

[1]) Apparet glossam corruptam esse: certam medicinam non praestiterim. Cf. Hultsch. Metrol. p. 291. Quid lateat quodammodo suspicari poteris inspectis locis quos Rankius laudat de Hesych. lexico p. 128 sqq.

[2]) E Pherecratis Cratapalis ut videtur, cf. Dobr. et Hemst. Polluc. IX. 83.

[3]) Antiphanes apud Athen. III. 108 F, alibi. Cf. Schol. Aesch. Tim. § 39. Harpocr.

[4]) Convenit Lex. rhet. Bekk. p. 286. 32.

[5]) Similia Eustathius e lexico rhetorico affert p. 1395. 47, ex Aristophane Byzantio p. 1625. 45. Aristophanis locus plenius servatus est ab Aeliano N. A. VII. 47, cf. Nauck. p. 112. 125. Alia indidem excerpsit Phryn. Bekk. p. 30. 31. Codex δικτυουλικοῖς.

[6]) Malim οὐγκίαν, cf. Antiatt. Bekk. p. 110. 22.

[7]) Hesych. Arist. Pac. 465: ὀγκύλλεσθε. Codex ὀγκύλεσθαι.

[8]) Codex ὠγκυλωμένος. Cobetus ὀγκυλλόμενος, sed malo quod dedi.

[9]) Hesychius. Cf. supra v. ἀδαξῆσαι.

[10]) Hesychius. Cf. Porson. ad Eur. Or. 26.

[11]) Codex ὄδαῖος. Cf. Hesychium et infra.

[12]) Cf. Hesychium.

ὀδῆσαι· τὸ ὠνήσασθαι· Εὐριπίδης Ἀλόπῃ καὶ Κύκλωπι [1]).
ὅδιος· Ἑρμοῦ ἐπίθετον [2]).
ὁ Διὸς Κόρινθος· παροιμία ἐπὶ τῶν πάλαι μὲν εὐπραγησάντων, ὕϛερον δ' οὐ καλῶς ἀπαλλαξάντων [3]).
ὁδοιδόκος· ὁ ἐν ταῖς ὁδοῖς πανοῦργος, κλώψ [4]).
ὁδοῦ παρούσης τὴν ἀτραπὸν ζητεῖς· λεγόμενον· Ἀριϛοφάνης Ἀναγύρῳ· ὅρμου παρόντος τὴν ἀτραπὸν κατερρύην [5]).
ὀδοντισμός· εἶδος αὐλήσεως [6]).
ὁδοποιοί· οἱ ὁδῶν ἐπιμεληταί [7]).
ὀδός· ἀρσενικῶς· καὶ οὐδὸς· ὁ τῆς θύρας, οὗ χρὴ ὀδός .... Ὀδεύειν· οὐδεὶς εἴρηκε τῶν Ἀττικῶν, ὅσα γε καὶ ἡμᾶς ἐπίϛασθαι· παρ' Ὁμήρῳ δέ ἐϛιν [8]).
ὅδουρις· πρῶτος [9]).
ὀδουρεῖς· προπορεύῃ.
ὁδουρούς· τοὺς ἐν ταῖς ὁδοῖς κακουργοῦντας [10]).
Ὀδυσσέα· ἡ ἐσχάτη μακρά· καὶ τὰ ὅμοια [11]).
ὀδωρεῖν· ὁδοφυλακεῖν.
ὄζαι· τὰ δέρματα τῶν ὀνάγρων.
ὄζειν· οὐ μόνον ὀδωδέναι λέγουσιν [12]).
ὀϊϛούχου· φαρέτρας [13]).

---

1) Brevius Hesych. Locus est in Cyclope vs. 98.

2) Hesychius. Cf. supra.

3) Cf. infra v. Πυθῶδε ὁδός et ὑπέρου περιτροπή. Zenob. 221. Plura Schol. Plat. Euthyd. 292 E e Demone, cf. Schol. Pind. Nem. VII. extr.

4) Cf. Hesychium. Codex ὀδοιδοκώς.

5) Brevius App. Vat. Prov. 512. Senarium restituam: ζητεῖς λαβεῖν. In Aristophanis fragmento malim Οἴμου.

6) Hesychius. Plura HSt. V. 1756 C.

7) Aesch. Ctesiph. § 25.

8) Lacunam indicavit et supplevit Cobetus Mnem. VIII. 45. Aliter Dobraeus. Cf. Eustath. p. 156. 30. Homeri locus est in Iliad. λ. 569.

9) Hoc dele; emendata glossa continuo sequitur.

10) Hinc corrige Hesychium. Ex Euripidis Archelao laudat Schol. Pind. Pyth. II. 54.

11) Cf. Piers. Moer. v. ἱππέας.

12) Infra: ὤζηκεν λέγουσιν.

13) Codex ὀϊϛόχου. E poeta quodam Epico, cf. Hes. et Eust. p. 1024. 62.

οἰςόν· δισυλλάβως Ἀττικοὶ λέγουσι τὸ βέλος [1]).
οἴδια· προβάτια [2]).
οἷ· ὅπου.
οἷ· περισπωμένως ἀντὶ τοῦ ἑαυτῷ, ὀξυτόνως δὲ τὸ οὗτοι· Συμποσίῳ· οἷ μὲν γὰρ εὐθὺς παῖδά τινα τῶν ἔνδον ἀπαντήσαντα· καὶ οὗ· ἀντὶ τοῦ αὐτοῦ· Πολιτείᾳ· πλὴν οὗ [3]).
οἰήτας· τοὺς κωμήτας· Σοφοκλῆς Ἀνδρομέδᾳ [4]).
οἶαι· διφθέραι, μηλωταί [5]).
οἴακες· πηδάλια, αὐχένες [6]).
οἰακίζει· κυβερνᾷ.
οἰακιςής· κυβερνήτης.
οἰακοςρόφος· κυβερνήτης [7]).
οἰακοςροφῶν· κυβερνῶν [8]).
οἰγνύει· ἀνοίγει.
οἰδαίνων· φλεγμαίνων, ψύχων [9]).
οἰδεῖ· φλεγμαίνει, πεφύσηται [10]).
οἴδημα· ὄγκωμα, φλεγμονή, ἀπόςημα· ὡς ἐκ μεταφορᾶς τῶν σωμάτων, καὶ ἐπὶ τῆς ἐπάρσεως καὶ φυσιώσεως λέγεται [11]).
οἰδήματα· ἐπάρματα ἢ φυσήματα.
οἴδησις· φλεγμονή, φύσημα.
οἴησις· ἔπαρμα, ὑπόνοια [12]).

---

1) Cf. Hesychium et Moerid. p. 275. Codex ὀϊςόν.
2) Codex ὄϊδια.
3) Plat. Symp. 174 E et Rep. X. 617 E. Vide de his locis Pors. ad Eur. Med. 734 et Cobet. Mnem. IV. 310. Legitur in Codice ἔνδον non ἔνδοθεν, quod propter Cobetum moneo. Tum συμπόσιον οἱ.
4) Codex οἴητας.
5) Vide supra: haec quoque plenius exstant apud Eustath. p. 1828. 48 e lexico quodam rhetorico, opinor Pausaniae.
6) E lexico rhetorico apud Eustath. p. 1533. 47, cf. Hesych. et Diogenianum apud Eustath. ll.
7) Hesychius. Usurpavit Aesch. Prom. 515. Sept. 62.
8) Hesychius. Cf. Aesch. Pers. 767.
9) Cf. Hesychium. Pro ψύχων malim φυσῶν.
10) Fortasse e Plat. Gorg. 518 E.
11) Cf. Hesychium.
12) Ἔπαρμα nihil ad οἴησις pertinet, sed ad οἴδησις.

οἰκέα· τὸν οἰκογενῆ οἰκέτην οἱ παλαιοὶ Ἀθηναῖοι· οἰκέτας καλοῦσιν οἱ Ἀττικοὶ καὶ τοὺς κατὰ τὴν οἰκίαν πάντας [1]).
οἰκάριον· τὸ οἰκίδιον [2]).
οἰκείαν· τὰ τοιαῦτα παρεσημειοῦτο Ἀριςοφάνης πρὸς τὴν οἰκείαν, ὅτι οὐ κυρίως κέχρηνται τῷ ὀνόματι· οἰκείους γὰρ ἐκτίθεται ἐν τῷ περὶ Συγγενικῶν τοὺς κατ' ἐπιγαμίαν παρεσηγμένους ἔξωθεν· ὁ δὲ Μένανδρος ἐνίοτε ἐπὶ τῶν συγγενῶν λέγει οὐχ ὡς ἡμεῖς ἐπὶ τῶν κατ' ἐπιγαμίαν Φίλων· ὁ γὰρ τὴν ἐπιγαμίαν λαμβάνων ἐςὶ συγγενής, οἰκεῖος δὲ ὁ συγγενής [3]).
ὀκεῖλαι· ἐκβληθῆναι [4]).
οἰκεῖος· ἴδιος.
οἰκίδιον· τὴν δευτέραν συλλαβὴν ἐκτείνουσιν, ὡς καὶ χρυσίδιον καὶ τὰ ὅμοια [5]).
οἰκίσκος· περδικοτροφεῖον. Ἀριςοφάνης Πελαργοῖς [6]).
οἰκογενές· τὸ οἰκόθρεπτον ἀνδράποδον [7]).
οἶκοι γενοίμην· ἐπὶ τῶν ἐκφυγεῖν τὰ δεινὰ εὐχομένων [8]).
οἰκόπεδον· ἔρημον κατάπτωμα οἴκου [9]).
οἰκόσιτος· ὁ τὰ οἴκοθεν καὶ τὰ ἑαυτοῦ ἐσθίων, οὐχὶ τὰ τῶν πέλας [10]).
οἰκητήρια· τὰ κατ' οἰκίαν σκεύη [11]).

---

[1]) Eadem Eustathius p. 1423. 2 procul dubio e lexico rhetorico. Cf. Harp. Fluxere haec ex Aristophane Byzantio, cuius observationem vide apud Eust. p. 566. 12. Vide Nauck. p. 196.

[2]) Vide Lysiam apud Poll. IX. 39, coll. Hesych.

[3]) Codex κέχρηται — ἐκτίθενται — συγγενῶν. Quae in fine addita sunt', aliunde irrepsere, iudice Dobraeo. Aristophanis locum tractavit Nauckius p. 129.

[4]) Codex οἰκεῖλαι. Idem vitium in Hesych. M. Schmidtius refert ad Thucyd. IV. 12. Cf. Prolegom. p. 28.

[5]) V. c. Arist. Nub. 92.

[6]) Photius habet e lexico rhetorico, cf. Eustath. p. 1423. 2, ubi additur Aristophanis versiculus: τί δὲ τὸν ὀρνίθειον οἰκίσκον φέρεις; vide praeterea Harpocr. Observatio e Didymo fluxit, de quo vide M. Schmidt. Didym. p. 311. Codex παιδικοτροφεῖον.

[7]) Scripserim οἰκογενής. Cf. Hes. Fortasse e Plat. Men. 82 B.

[8]) App. Provv. 314.

[9]) Cf. HSt. V. 1794 C.

[10]) E lexico rhetorico, cf. Eust. p. 1423. 2. Plura Athen. VI. 247 F, cf. Hesych.

[11]) E lexico rhetorico, cf. Eustath. p. 1423. 2 qui οἰκοπορεῖα;

οἰκότριψ· οἰκέτης [1]).
οἰκοτρίβαιον· τὸ οἰκογενὲς παιδάριον [2]).
οἰκουρός· οἰκονομικὸς ἢ οἰκοφύλαξ· οὐρὸς γὰρ ὁ φύλαξ [3]).
οἰκουρὸν ὄφιν· τὸν τῆς Πολιάδος φύλακα· καὶ Ἡρόδοτος· Φύλαρχος δὲ αὐτοῦ δύο [4]).
οἰκούρια· ἃ καταλείπουσιν ἢ φέρουσιν αἱ μητέρες τοῖς οἴκοι τῶν παιδίων ἀπολειφθεῖσιν· ἢ παίγνια [5]).
οἰκουρουμένης· τῆς ἀσφαλῶς τηρουμένης καὶ ὑποικουρουμένης ὑγρότητος· ἤτοι τῆς ἐνδομυχούσης καὶ ἔνδον κατεσπαρμένης [6]).
οἰκονόμους· τοὺς κατὰ τὸν οἶκον νεμομένους [7]).
οἰκότριβες· οἱ ἐκ δούλων δοῦλοι, οἳ καὶ οἰκογενεῖς λέγονται· ἐνομίζοντο δὲ τὸ παλαιὸν ἀτιμότεροι τῶν ὠνητῶν· ὅτι οἱ μὲν ἐκ δούλων οἱ δ' ἐξ ἐλευθέρων ἐγένοντο, καὶ οἱ μὲν ἀεὶ δοῦλοι, οἱ δὲ ὕστερον [8]).
οἰμώκτιαν· ἀντὶ τοῦ οἰμώξειαν [9]).
οἰνάνθη· ἡ τῆς ἀμπέλου ἔκφυσις, καὶ φυτὸν ὀρεινὸν εὔοδμον [10]).

Photii Codex similiter οἰκυπορεῖα. Hesychius οἰκητόρια. Emendatam lectionem Pollux X. 11 affert ex Alcaco comico. Cf. Prolegg. p. 51.

[1]) Plura apud Hesych. et apud alios.

[2]) Codex οἰκοτρύβλιον. Et ita quoque Hesychius et Eustathius p. 1423. 2, secundum lexicon rhetoricum. Emendata lectio apud Polluc. III. 76. Cf. M. Schmidt. ad Hesych. et Prolegom. p. 52.

[3]) Cf. Hesychium.

[4]) Respicitur Arist. Lysistr. p. 759. Cf. Hesychium. Photius habet e lexico rhetorico cf. Eustath. p. 1423. 2. Herodoti locus est VIII. 41. Creuzerus apud Mueller. Fragmt. Hist. I. p. 355 locum sic restituit: καὶ Ἡρόδοτος μὲν ἕνα φησὶν ἐν τῷ ἱερῷ, Φύλαρχος δὲ αὐτοῦ δύο. Sed aliud quid in αὐτοῦ subesse crediderim.

[5]) Codex οἰκουρία — οἴκοις. Similia lexicon rhetoricum apud Eustath. p. 1423. 2 et Hesychium.

[6]) Cf. infra ὑποικουροῦν.

[7]) Cf. Hesychium.

[8]) Similiter Lex. rhet. Bekk. p. 286. 18. Cf. Hesychium et Eustath. p. 1854. 16.

[9]) M. Schmidt. ad Hesychium corruptam glossam rectissime interpretatus est. Latet adverbium οἰμωκτί, quod vide apud Zonaram et οἰμώξειαν quae glossa petita est e Soph. Ai. 962.

[10]) Hesych. Cf. Cratinum apud Athen. XV. 685 D.

οἰνήρυσις· κοτύλη, οἰνοχόη [1]).

Οἰναῖοι τὴν χαράδραν· ἐπὶ τῶν ἐπ' ὠφελείᾳ παρακαλουμένων, βλαπτόντων δέ· τῶν γὰρ Οἰναίων παροχετευόντων τὴν χαράδραν, ἐπιρραγὲν ὕδωρ πολὺ κατέκλυσε πάντα [2]).

οἰνιςήρια· σπονδὴ τῷ Ἡρακλεῖ ἐπιτελουμένη ὑπὸ τῶν ἐφήβων πρὶν ἀποκείρασθαι· Εὔπολις Δήμοις [3]).

Οἴνη· βόλος κενὸς καὶ ἀντικείμενος τῷ ἑξίτῃ [4]).

οἰνίζει· μονάζει [5]).

οἱ νομοφύλακες τίνες· ἔδοξέ τισι τοὺς αὐτοὺς εἶναι τοῖς θεσμοθέταις, ἀλλ' οὐκ ἔςιν οὕτως· οἱ μὲν γὰρ θεσμοθέται κατὰ τὰ πάτρια ἐςεφανωμένοι ἐπὶ τὸν Ἄρειον πάγον ἀνέβαινον· οἱ δὲ νομοφύλακες ςροφίοις λευκοῖς ἐχρῶντο· καὶ ἐν ταῖς θέαις ἐπὶ θρόνων ἐκάθηντο καταντικρὺ τῶν ἐννέα ἀρχόντων καὶ τῇ Παλλάδι τὴν πομπὴν ἐκόσμουν, ὅτε κομίζοιτο τὸ ξόανον ἐπὶ τὴν θάλασσαν· ἠνάγκαζον δὲ καὶ τὰς ἀρχὰς χρῆσθαι τοῖς νόμοις καὶ ἐν ταῖς ἐκκλησίαις ἐκάθηντο μετὰ τῶν προέδρων κωλύοντες ψηφίζειν, εἴ τι παράνομον αὐτοῖς εἶναι δόξειεν ἢ ἀσύμφορον τῇ πόλει [6]).

οἰνόπται· εὐτελὴς ἀρχὴ Ἀθήνησιν, παρέχουσα λύχνους καὶ θρυαλλίδας ἐν ἑορταῖς τισίν [7]).

οἰνόπται· ἐπιμεληταὶ τοῦ τοὺς φράτορας ἡδὺν οἶνον ἔχειν· Δίδυμος οὕτως ἀποδίδωσιν· εὐτελὴς ἀρχή τις Ἀθήνησιν [8]).

οἶνος ἄνευ παιδευτῶν· δύο παροιμίαι, ἡ μέν· οἶνος καὶ ἀλήθεια,

---

[1]) Hesych. Ex Arist. Acharn. 1067. Cf. Phryn. Bekk. p. 39. 15 et 55. 7.

[2]) Ex Hesychio apparet haec e Demone fluxisse. Cf. Zenob. 429. Codex οἰνέοι vel οἱ νέοι et οἰνέων vel οἰνέων.

[3]) Similia apud Hesychium et Eustathium p. 907. 18, qui cum Photio perperam scribit οἰνιαςήρια. Cf. Athen. XI. 494 F et Polluc. III. 52.

[4]) Codex: Οἰνηβόλος· κχινὸς καὶ ἀντικείμενος τ εξει. Cf. Hes. ibiq. M. Schmidt. Poll. VII. 204. Schol. Plat. Legg. XII. 968 E.

[5]) Hesychius add. κατὰ γλῶσσαν.

[6]) Cf. Harp. et Lex. rhet. p. Phot. p. 673. 27, unde constat haec excerpta esse e Philochoro.

[7]) Convenit Athen. X. 425 B, qui laudat Eupolidis fragmentum. Cf. Poll. VI. 21. Hesych. E Didymo, vide mox.

[8]) Cf. M. Schmidt. Didym. 38.

ἡ δέ· οἶνος καὶ παῖδες ἀληθεῖς· λαμβάνεται δὲ καὶ ἐπὶ τῶν ἀπλοϊζομένων καὶ τὴν ἀλήθειαν λεγόντων [1]).

οἰνόσπονδοι· αἱ γινόμεναι θυσίαι μετ' οἴνου σπονδῆς [2]).

οἰνοῦττα· μᾶζα οἴνῳ δεδευμένη, μελιτοῦττα δὲ ἡ μέλιτι [3]).

οἰνώνης· οἷον οἶνον συνωνούμενος.

οἰνωπός· οἰνώδης, διαυγὴς ἢ μέλανος.

οἷοι· μόνοι ἢ δυνατοί [4]).

οἷόν τε· δυνατόν, ἀρκούντως ἔχον, κατὰ δυνατόν [5]).

οἷος· ἀντὶ τοῦ ἕτοιμος. καὶ οἷός τε· ἀντὶ τοῦ ἕτοιμος. καὶ οἷος ἦν· ἀντὶ τοῦ ἕτοιμος ἦν· τίθεται δὲ καὶ ἀντὶ τοῦ ἐσπούδαζεν· Λυσίας· ἐβιάζετό τε γὰρ καὶ οἷος ἦν ἐξευρεῖν τὴν θύραν· σημαίνει δὲ καὶ τὸ ἀνταποδοτικόν· τοιοῦτος οἷος ὁ πατήρ [6]).

οἷον· τὸ ἀνταποδοτικὸν τοῦ τοιοῦτον· καὶ τὸ ἐπὶ παραδειγμάτων παραλαμβανόμενον· καὶ τὸ ἐπὶ θαυμασμοῦ· ὡς τό· οὐδὲν γὰρ οἷον ἀκούειν αὐτοῦ τοῦ νόμου· Δημοσθένης ἐν τῷ κατὰ Μειδίου· οὐδὲν οὕτως καλὸν οἷον τὸ ἀκούειν αὐτοῦ τοῦ νόμου [7]).

οἶσθα· ἀντὶ τοῦ οἶδας· λέγεται καὶ χωρὶς τοῦ σ· μετὰ δὲ τοῦ σ ποτε ἢ διὰ μέτρον ἢ διὰ τὸ μὴ συγκροῦσαι σύμφωνα [8]).

οἰςά· φορητά [9]).

οἰσπώτη· οἰῶν ῥύπος, οἴσυπος. Ἀριςοφάνης Λυσιςράτῃ· ἐκπλύναντας τὴν οἰσπώτην ἐκ τῆς πόλεως ἐπικλινεῖς [10]).

---

[1]) Non sum loco restituendo. Cf. Athen. II. 37 F. Diogen. 628. Schol. Plat. Symp. 217 E. Meinek. Fragmt. Com. IV. 307 et ad calc.

[2]) Codex οἰνόσπονδα. Cf. Hes. et Lex. rhet. Bekk. p 287. 22.

[3]) Hesych. Cf. Arist. Plut. 1121. Codex μελίττουτα.

[4]) Confundit οἶοι et οἷοι, ut vides. Cf. Lex. rhet. Bekk. p. 284. 27.

[5]) Codex ἔχειν. Cf. Hesychium.

[6]) Lysiae locus est ex oratione κατὰ Λυσιθέου, ut conficio ex Harpocr. in v.: οἷος εἶ καὶ οἷός τε εἶ. Cf. Cobet. Mnem. IX. 290. Codex θῆραν.

[7]) Locus est Demosth. Midian. § 46. Nota interpretamentum οὕτως καλόν.

[8]) Ex Aelio Dionysio apud Eust. p. 1773. 20. Laudat Hom. Odyss. α. 337: θελκτήρια οἶδας. Cf. HSt. III. 199 B.

[9]) Hesychius. Ex Thucyd. VII. 75.

[10]) Codex οἷον ρ. οἴσοπος — ἐπικλίνη. Ex Arist. Lysistr. 575. Glossa mutila est, cf. M. Schmidt. Didym. p. 35.

οἰςρεῖ· ἐρεθίζει, ἐκμαίνει[1]).
οἰςρηλατούμενοι· πυρούμενοι, ἐκμαινόμενοι[2]).
οἰςροπλῆγα· τῇ μανίᾳ πεπληγότα[3]).
οἶςρος· ἐρεθισμός, ἔκκαυσις, πύρωσις ἐμμανής[4]).
οἰσύπη· ἡ ῥύπος τῶν ἐρίων[5]).
οἰσυπηρός· ῥυπαρός[6]).
οἴχεται· πορεύεται[7]).
οἰχήσομαι· πορεύσομαι.
οἰχόμενος· πορευόμενος.
ὁ κάνης τῆς κοίτης ὑπερέχει· ἐπὶ τῶν τὰ μὴ ἀναγκαῖα μείζω καὶ πλείω τῶν ἀναγκαίων κεκτημένων[8]).
ὀκέλλει· προσορμεῖ, ἐκρίπτεται· εἴρηται ἐπὶ τῶν νηῶν[9]).
ὀκιμβάζειν καὶ σκιμβάζειν· τὸ ςραγγεύεσθαι[10]).
ὀκλαδίας δίφρος· ὃν οἱ ἀκόλουθοι τοῖς πλουσίοις εἰς ἀγορὰν ἠκολούθουν φέροντες[11]).
ὀκλάζει· χωλεύει, εἰς τὸ γόνυ κάμπτεται, διςάζει, ἀποκάμνει, λαγγάζει[12]).
ὀκλάξ· οὕτως καὶ οἱ Ἀττικοὶ λέγουσιν ὡς ἡμεῖς[13]).
ὀκνεῖν· τὸ φοβεῖσθαι δηλοῖ παρὰ τοῖς παλαιοῖς.
ὀκνῶν· ἀναδυόμενος[14]).

---

1) Cf. Hesych. ibiq. M. Schmidt. Codex ἐκμαίνοι.
2) Cf. Hesychium.
3) Hesychius. Lexicon rhetoricum apud Eustath. p. 629. 54 laudat Soph. El. init.
4) Plenius apud Hesychium.
5) Cf. HSt. V. 1840 A.
6) Cf. Hesychium. Usurpavit Arist. Acharn. 1176.
7) Lex. rhet. Bekk. p. 284. 26.
8) Pollux X. 90 laudat e Cratete Ἥρωσιν. Cf. App. Prov. 317.
9) Cf. Hesychium.
10) Codex στρατεύεσθαι. Vide glossas κιμβάζειν et σκιμβάζειν. Et apud Hesych. οἰκιμβάζειν ibiq. M. Schmidt. Res admodum obscura; praestare videtur forma σκιμβάζειν.
11) Cf. Hesych. et Athen. XII. 512 C. Fortasse ex Arist. Eq. 1384. Plura apud HSt. V. 1855 B.
12) Similiter Hesychius.
13) Cf. Hesychium.
14) Cf. Hesychium. Fortasse ex Thucyd. I. 120.

ὀκρίβαντας· ἐμβάτας [1]).
ὀκρίβας· ὄχημα ἡνιόχου [2]).
ὀκρίβας· σκηνή, ἰδίως πάντων τῶν λεγόντων· τὰ πλασικὰ πήγματα ἐφ' οἷς διατυποῦσι τὰς εἰκόνας· καὶ τὰ ὑπερείσματα τῶν ξυλίνων θεάτρων· βέλτιον φαίνεται τὸ λογεῖον, ἐφ' οὗ ἵσανται οἱ τραγῳδοί.
ὀκρίβας· τὸ λογεῖον ἐφ' οὗ οἱ τραγῳδοὶ ἠγωνίζοντο· καὶ Πλάτων ὁ φιλόσοφος ἐν Συμποσίῳ κέχρηται τῷ ὀνόματι [3]).
ὀκορνούς· τοὺς πάρνοπας· Αἰσχύλος Φιλοκτήτῃ· οἱ δὲ Ἴωνες ἀττελέβους [4]).
ὁ Κρὴς τὴν θάλασσαν· ἰδὼν γὰρ αὐτὴν γαληνίζουσαν ἔφη· εἰ μὴ ᾔδειν σε [5]).
ὀκριάζων· τραχυνόμενος. Σοφοκλῆς [6]).
ὀκτώπηχυς καὶ ὀκτώπους· Φιλήμων [7]).
Ὀκτώπαν ποταμόν· Αἰσχύλος διαπέπλακε ἐν Νεανίσκοις [8]).
ὀκτώπους ἤτοι ὁ σκορπίος [9]).
ὀκτώπους· ἢ ὁ μακρὸς ὀκτὼ ποδῶν [10]).
ὀκτώπουν· Κρατῖνος Θρᾴτταις· Ὀκτώπουν ἀνεγείρεις· ἀντὶ τοῦ σκορπίον· παροιμία γάρ· [σκορπίον] ὀκτώπουν ἀνεγείρεις· ἐν δὲ ταῖς Αἰσχύλου Ξαντρίαις ἡ Λύσσα ἐπιθειάζουσα ταῖς Βάκχαις φησίν· — ἐκ ποδῶν δ' ἄνω Ὑπέρχεται σπαραγμὸς εἰς ἄκρον κάρα· Κέντημα γλώσσης, σκορπίου βέλος λέγω [11]).
ὀλὰς οὐχὶ οὐλὰς λεκτέον [12]).
ὀλαγμεύειν· ὀλὰς βάλλειν [13]).

---

1) Codex ἐμβάντας. Vide Hesych. et HSt. V. 1859 A.
2) Sic marg. Codicis Lex. Bachm. Photii Codex: σχῆμα.
3) Cf. Schol. Plat. Symp. 194 B. Adde Hes. Tim. et Prolegom. p. 60.
4) Similia Hesychius, sed omissa Aeschyli mentione.
5) Aliter Zenob. 430.
6) Hesychius omittit Sophoclis nomen.
7) Haec glossa et sequentes referendae sunt ad Aelium Dionysium, quem vide apud Eustath. p. 1417. 30.
8) Codex διαπέπλευκε. Corr. Cobet. Var. Lect. p. 121.
9) Codex ὀκτώπας. Vide mox Cratini locum.
10) Eiecto ὀκτώπους Cobetus coniungit cum gl. sup.
11) Uncinis circumdedi σκορπίον· aliter Meinekius.
12) Codex οὐχὶ ἄλας. Correxit Cobet. Mnem. VIII. 20. Cf. HSt. V. 2379 C.
13) Cf. Hesychium v. ὀλαιμεύς ibiq. M. Schmidt.

ὀλβοδότης· πλουτοδότης.
ὀλέθρου πεῖραρ' ἐφῆπται· ἐπιδέδεται καὶ ἐξῆπται τὸ τοῦ ὀλέθρου ὑμῶν πέρας, οἱ ἐνδέδεσθε τῷ ὀλέθρῳ [1].
ὄλεθρον· τὸ μόριον τὸ γυναικεῖον [2].
ὀλέκρανον· ἀγκών, οἷον τῆς ὠλένης κάρα ἢ κράνιον [3].
ὀλέκρανον· τὸ ὀστοῦν τοῦ ἀγκῶνος [4].
ὀλέκρανα· τοὺς ἀγκῶνας καὶ τοὺς πήχεις τῶν ποδῶν λέγουσι [5].
ὀλίγα ἄττα· ὀλίγα τινά [6].
ὀλιγαρχούμενοι· ὑπ' ὀλίγων ἀρχόμενοι· τρεῖς δέ εἰσι πολιτεῖαι, βασιλεία, ὀλιγαρχία, δημοκρατία [7].
ὄλιγγοι· γένος ἀκρίδων [8].
ὀλιγίστου· παρὰ μικρόν [9].
ὀλίγωρος· σὺν τῷ γ.
ὀλιγογνώμων· ὀλίγωρος [10].
ὄλιγγος· ὁ γόνος τῶν ἀκρίδων [11].
ὀλιγοδεής· ὀλίγα χρήζων [12].
ὀλιγοδρανής· ὀλίγα ἰσχύων [13].
ὀλίγου δεῖν· σχεδόν, παρὰ μικρόν· λέγεται δὲ καὶ χωρὶς τοῦ δεῖν.
ὀλισθηρός· εὐόλισθος, εὐχερῶς μεταγινώσκων.

---

[1]) Codex οἷον δεδέσθαι. Corr. Cobet. Hesychius. Proverbium vide quoque apud Diogen. 596.

[2]) Sic Porsonus, sed Codex μοίριον vel μώριον, hinc cum M. Schmidtio ad Hesychium scribere malim κοσμάριον γυναικεῖον, coll. Polluc. V. 101 et Aristophanis fragmento apud eundem VII. 95.

[3]) Codex ὠλέκρανον et sic ter. Dobraeus edidit quod scripserat Porsonus, sed in Codice exstare videtur τῆς ὠλένης κάρανον.

[4]) Cf. Lex. rhet. Bekk. p. 286. 22.

[5]) Cf. Moerid.

[6]) Rectius scribetur ὀλίγ' ἄττα. Cf. Cobetum Mnem. VI. 14. VIII. 45 et supra λοίπ' ἄττα.

[7]) Ex Plat. Rep. VIII. 552 B. Convenit Hesychius. In Lex. rhet. Bekk. p. 285. 3 ὀλιγαρχία pro ὀλιγαρχούμενοι.

[8]) Cf. infra et Hesychium v. ὀλίγιοι.

[9]) Hesychius.

[10]) Hesychius.

[11]) Cf. supra.

[12]) Hesychius. Cf. Polluc. VI. 28.

[13]) Hesychius.

ὄλισβοι· δερμάτινα αἰδοῖα.
ὁλκάδες· πλοῖα [1]).
ὁλκεῖον· χαλκοῦς λέβης τρεῖς πόδας ἔχων [2]).
ὁλκῇ· δυνάμει ἢ βάρει ἢ σταθμῷ.
ὁλκήν· ἐπαγωγήν, τροπήν [3]).
ὁλκοί· σχοινία εἰς τὸ ἕλκειν ἐπιτήδεια [4]).
ὁλκὸς ἄνθρωπος· ὁ ἑλκυστικὸς καὶ ἐπαγωγὸς ἄνθρωπος [5]).
ὁλκοῖς· ἄγειν καὶ ἐφέλκεσθαι δυναμένοις [6]).
ὁλκόν· ἰσχυρὸν τόνον ἢ ἑλκυστικὸν ἢ ὅρμον ἢ ὁδόν [7]).
ὁλκός· ὁδὸς ἢ ἀγωγὸς ῥεύματος ἢ οὐρὰ ἢ ὁλκός· κυρίως τὸ τῶν δρακόντων σύρμα, καταχρηστικῶς δὲ καὶ τὸ τῆς τρόπιδος ἔκταμα· δρακοντοειδὲς γὰρ διὰ πάσης τῆς νεὼς διήκον.
ὁλκούς· ἐφελκομένας.
ὁλκούς· ναυστάθμους [8]).
ὅλμοι καὶ ὑφόλμια· ἐπ' αὐλῶν· Εὔπολις Φίλοις· Ῥέγκειν δὲ τοὺς ὅλμους οἴμοι τῶν κακῶν [9]).
ὁλοκαρπούμενον· ὅλον προσφερόμενον [10]).
ὁλόκληρος· οἱ ἄρχοντες ἐδοκιμάζοντο, εἰ ὁλόκληροί εἰσιν· Μένανδρος Θετταλῃ· ὁλόκληρος οὗτός σοι, ξένε.
ὁλοκαυτισμός· ὁλοκαρπία [11]).
ὀλός· θολός [12]).
ὁλοσχερῶς· ὁλοτελῶς [13]).

---

[1]) Hesychins ὁλκάδεσσι.
[2]) Menandri et Philemonis locos vide apud Poll. X. 176.
[3]) Glossa fortasse referenda ad Plat. Phileb. 57 D.
[4]) Convenit Lex. rhet. Bekk. p. 285. 9.
[5]) Antiatt. Bekk. p. 111. 1 add.: Πλάτων Πολιτείας πέμπτῳ. Hoc quidem non memini me legere. Sed cf. Rep. VII. 527 B.
[6]) Codex δυνάμενον. Emend. lect. in Lex. Bachm.
[7]) Hinc M. Schmidtius emendat Hesychinm.
[8]) An ex Thucyd. III. 15?
[9]) Ut senarius restituatur, nil novi commodius quam: Ῥέγκειν δὲ τοῖς ὅλμοισιν· οἴμοι τῶν κακῶν. Meinekins rem reliquit integram.
[10]) Hesychius.
[11]) Cf. Phryn. Bekk. p. 56. 14.
[12]) Hesychius. Cf. Phryn. Bekk. p. 12. 23. Plura Dind. ad HSt. V. 1910 A.
[13]) Antiatt. Bekk. p. 110. 18 laudat Diphilum Ἐγκαλοῦσιν. Cf. Hes.

ὀλοσπάδες· ὅλαι καταπινόμεναι καὶ κατασπώμεναι. Σοφοκλῆς [1]).
ὀλόσφυρον· τὸ ὁλοσφύρατον [2]).
ὅλολυν· Μένανδρος τὸν γυναικώδη καὶ κατάθεον καὶ βάκηλον [3]).
ὀλολύττουσιν· οὐχὶ ὀλολύζουσι. Μένανδρος [4]).
ὀλόλυας· τοὺς δεισιδαίμονας ἐκάλουν οἰωνιζόμενοι· Μένανδρος Δεισιδαίμονι, Θεόπομπος Τισαμενῷ καὶ ἄλλοι [5]).
ὀλόσχοινος· ἡ σχοῖνος· καὶ Δημοσθένης καὶ οἱ ἄλλοι [6]).
ὀλούφειν· τίλλειν ἢ κατασπᾶν· οἷον ὀλοσφίζειν [7]).
ὀλοφυκτίς· Φλύκταινα ἐπὶ τῆς γλώττης.
ὀλοφυκτίς· οἷον ἐπινυκτὶς ἢ δοθίην· ὅταν δὲ ἐπὶ τῆς γλώττης τοῦτο γένηται, λέγουσιν αἱ γυναῖκες, ὅσα ποθεῖς τις σοι μερίδα ἀπέδωκε· δοκεῖ δὲ ταῦτα ἐπιγίνεσθαι τῇ γλώττῃ καὶ ὅταν ὑπὲρ ἀπόντος καλοῦ ἢ καλῆς διαλέγηται [8]).
ὀλόφωνος ἀλέκτωρ· ὁ ἀλεκτρυών· οὕτως Κρατῖνος [9]).
ὀλοφυρμός· θρῆνος [10]).
Ὀλύμπια· τὰ ἐν Πίσῃ Ὀλύμπια· Ἀθήνησι καὶ τὸ ἱερὸν Ὀλυμπιεῖον πεντασυλλάβως, ὡς Ἀσκληπιεῖον· Ἀριστοφάνης [11]).
ὄλυρα· ζειαί, εἶδος σπέρματος [12]).
ὀλώλαμεν· ἀπολώλαμεν [13]).

---

[1]) Hesychius omittit Sophoclis nomen.
[2]) Cf. Phryn. Lobeck. p. 203 et Hesychium.
[3]) Vide infra.
[4]) Proba forma est ὀλολύζειν, quam vide apud Menandrum ipsum eo loco quem Meinekius IV. p. 166 affert e Strabone VII. p. 297.
[5]) Codex ὀλόλους. Vide Anaxandridis locum apud Athen. VI. 242 E. Cf. HSt. V. 1904 C.
[6]) Plura apud Harp. et Lex. rhet. Bekk. p. 287. 3.
[7]) Hesych. Cf. Dind. ad HSt. V. 1913 D. Sed aliud quid latet ni fallor.
[8]) Cf. Hesych. et Erotian. qui perperam περινυκτίδες. Plura apud HSt. V. 1914 A. Praeterea Codex ἐπέδωκεν. Correxit M. Schmidtius.
[9]) Cobetus add. ἀλέκτωρ. Cf. Athen. IX. 374 D. Hesych.
[10]) Fortasse e Thucyd. VII. 71.
[11]) Cf. HSt. V. p. 1922 extr. Cobet. Praef. Novi Test. p. 58 et in Mnemosyne X. 85.
[12]) E Dem. Cherson. § 45, ut patet e Lex. rhet. Bekk. p. 284. 28 quod ὀλυρῶν habet.
[13]) Hesychius.

ὅλῳ ποδί· ὅλῃ δυνάμει.
ὅμαιμος καὶ ὁμαίμων· ἀδελφὸς ἢ συγγενὴς καὶ ὁμονήδυος [1]).
ὁμαιχμία· ὁμομαχία, συμμαχία· παρὰ τὸ ὁμοῦ τὰς αἰχμὰς · τίθεσθαι [2]).
ὁμαλές· ἐπὶ τοῦ πράγματος· ὁμαλόν, ἐπὶ τόπου· Θουκυδίδης· καὶ προελθόντες εἰς τὸ ὁμαλόν· καὶ πάλιν· ἐν τῷ ὁμαλῷ τὴν μάχην ποιεῖσθαι [3]).
ὁμίχματα· τὰ οὐρήματα, Αἰσχύλος [4]).
ὄμμα ῥαπτόν· ἐπὶ τῶν παλευτριῶν περιςερῶν [5]).
ὅμαυλον· ὁμόκοιτον [6]).
ὀμβρήσαντος· πηγάσαντος.
ὁμέθνιον· ὁμόφυλον.
ὁμηρεῖν· ὁμοῦ ἡρμόσθαι [7]).
ὁμέςιον· ὁμόοικον, ὁμωρόφιον [8]).
ὁμηρέταις· ὁμοψήφοις, ἀπὸ τοῦ ὁμοῦ ἐρέσσειν· ὁμογνώμοσιν [9]).
ὁμήρους· τὰ ἐνέχυρα, παρὰ τὸ ὁμηρεῦσαι, ὅ ἐςι συντυχεῖν καὶ συμβαίνειν ἀλλήλοις περὶ τῶν διαφόρων [10]).
ὁμευνέτου· συγκοίτου, ἀνδρός [11]).
ὁμηρεύειν· συμφωνεῖν [12]).
ὅμηρον· ἐνέχυρον, τὸ εἰς εἰρήνην διδόμενον [13]).
ὀμνύναι καὶ ὀμνύειν· διττῶς λέγουσιν· μᾶλλον δὲ διὰ τοῦ ναι· καὶ ζευγνύναι καὶ τὰ ὅμοια· τὸ δὲ ἱςάναι μόνως οὕτως, ἀλλ' οὐχ ἱςάνειν [14]).

---

[1]) Cf. Nauckium Arist. Byz. p. 152.
[2]) Cf. Hesychium. Fortasse e Thuc. I. 18.
[3]) Thucydides V. 65.
[4]) Codex ὁμαμαιτα. Emendavi ex Hesychio.
[5]) Nescio quid lateat.
[6]) Hesychius.
[7]) Codex ὁμείρειν. Cf. Hesychium.
[8]) E Callimacho, cf. Cobetum in Mnemosyne X. 417.
[9]) Codex ὁμηρίταις. Hesychius.
[10]) Breviter in Lex. rhet. Bekk. p. 287. 26.
[11]) Eur. Med. 953. Corrige Hesychium v. ὁμευνήτου.
[12]) Hesychius. Cf. supra ὁμηρεῖν.
[13]) Cf. Hesychium voce ὅμηροι.
[14]) Indidem atque Photius, sua habet Phryn. Bekk. p. 51. 29, alibi.

ὄμνυθι καὶ ἔκδυθι καὶ τὰ ὅμοια διὰ τοῦ θι [1]).
ὁμόδουλος· σύνδουλος [2]).
ὁμόγνια· ὁμογενῆ ἢ γνήσια ἢ φίλα.
ὁμοθυμαδόν· ὁμοφρόνως, ὁμοψύχως [3]).
ὁμοδίαιτος· ὁμοτράπεζος [4]).
ὁμοίας λαβάς· ἀντιμεταλήψεις καὶ ἀντιμεταθέσεις [5]).
ὁμοθύμως· ὁμοψύχως, ὁμοφρόνως, ὁμολόγως [6]).
ὁμογάλακτες· οἱ τοῦ αὐτοῦ γάλακτος, οὓς καὶ γεννήτας ἐκάλουν [7]).
ὁμοερκής· ὁμότοιχος [8]).
Ὁμολῷος Ζεύς· ἐν Θήβαις καὶ ἐν ἄλλαις πόλεσι Βοιωτίας· καὶ ὁ ἐν Θεσσαλίᾳ ἀπὸ Ὁμολῴας προφήτιδος τῆς Ἐνυέως, ἣν προφῆτιν εἰς Δελφοὺς πεμφθῆναι ὁ Ἀριστόδημος ἐν δευτέρῳ Θηβαϊκῶν· Ἴστρος δὲ ἐν τῇ δωδεκάτῃ τῆς συναγωγῆς διὰ τὸ παρ' Αἰολεῦσιν τὸ ὁμονοητικὸν καὶ εἰρηνικὸν ὅμολον λέγεσθαι· ἔστι δὲ Δημήτηρ Ὁμολῴα ἐν Θήβαις [9]).
ὁμόπτεροι· ὁμότριχες [10]).
ὁμονήδυος· ἀδελφὸς γνήσιος.
ὁμόνοια· συνέδριον, ἀρχή τις· καλεῖται δὲ ὁμονοίας ἐπιστάται.
ὅμορος· πλησιόχωρος [11]).
ὁμοροῦσα· γειτνιῶσα, πλησίον ἐλθοῦσα [12]).

---

[1]) Indidem atque Photius, Phrynichus Bekk. p. 41. 8.
[2]) Hesychius. Legitur Plat. Phaed. 85 B.
[3]) Hesychius.
[4]) Hesychius.
[5]) E Plat. Phaedr. 236 B.
[6]) Hesych. et Lex. Bachm. adiectivum interpretantur.
[7]) Cf. Hes. Schol. Plat. Crit. 51 E. Poll. VI. 156. Videtur adnotatio fluxisse e Philochoro, cf. Harp. v. γεννῆται.
[8]) Codex ὁμοείρκτης — ὁμόστοιχος. Corr. ex Hesych. et Poll. VI. 156 qui vocabulum e Solone affert. Cf. quoque Harp. et Lex. rhet. Bekk. p. 286. 33. Additur in Codice ἐκ τοῦ αὐτοῦ γένους, quod pertinet ad sequentem Homericam glossam ὁμόθεν.
[9]) Codex Ἀριστοφάνης pro Ἀριστόδημος, cf. Valck. ad Schol. Eur. Phoen. 1120 et 1126. Vide Aristodemi fragmentum apud Muellerum III. 308. Adde Schol. Theocr. VII. 103 et plura apud HSt. V. 1978 sq.
[10]) Ex Eur. Electr. 530. Cf. Hesych. et Poll. VI. 156.
[11]) Hesychius.
[12]) Hesychius.

ὁμορροθεῖ· συμφωνεῖ [1]).
ὁμωρόφιον· ὁμόσκηνον [2]).
ὁμόσιτον· ὁμοῦ τρεφόμενον [3]).
ὁμόσπονδος· φίλος [4]).
ὁμοτέρμονας· πλησιοχώρους, τοὺς ὁμοῦ τὰ τέλη ἔχοντας [5]).
ὁμότεχνον· οὐ σύντεχνον [6]).
ὁμότιτθον· οὐχ ὁμότηθον [7]).
ὁμοῦ· ἐν τῷ αὐτῷ· λέγουσι δὲ καὶ τὸ ἀναμὶξ ὁμοῦ.
ὁμοῦ· Δημοσθένης τῷ ὁμοῦ κέχρηται ἐν τῷ κατ' Ἀριστογείτονος ἐπὶ τοῦ ἐγγύς· φησὶ γὰρ οὕτως· εἰσὶν ὁμοῦ δισμύριοι πάντες Ἀθηναῖοι· ἐνθάδε γὰρ βούλεται δηλοῦν ὅτι ἐγγὺς τῶν δισμυρίων εἰσίν· ἐπεὶ ὅτι γε οὐκ ἦσαν δισμύριοι φανερόν· Ἰσαῖος δὲ τὸ ὁμοῦ ἐπὶ χρόνου ἔταξεν ἐν τῷ πρὸς Δωρόθεον· Λυσίας δὲ καὶ Ὅμηρος ἐπὶ τόπου· γυναικῶν δὲ πολλῶν καὶ ἀνδρῶν ὁμοῦ κατακειμένων· δοκεῖ δὲ καὶ Ὅμηρος ὁμοίως τῷ Λυσίᾳ κεχρῆσθαι ἐν τοῖς Πατρόκλου λόγοις πρὸς Ἀχιλλέα· Μὴ ἐμὰ σῶν ἀπάνευθε τιθήμεναι ὀστέ' Ἀχιλλεῦ· Ἀλλ' ὁμοῦ ὡς ἐτράφημεν ἐν ἡμετέροισι δόμοισιν [8]).
ὄμπνην· Ἀθηναῖοι ὅταν τὸν νεὼν ἱδρύωνται πυροὺς μέλιτι δεύ-

---

[1]) Hesychius. E Soph. Antig. 536 ut videtur.

[2]) Codex ὁμορρόφιον. Fortasse e Dem. Cor. § 287.

[3]) Cf. Hesychium et Pollucem III. 61.

[4]) Hesychius. Fortasse e Dem. Cor. § 287, cf. ὁμωρόφιον.

[5]) Glossa referenda videtur ad Plat. Legg. VIII. 842 E. Cf. Timaeum.

[6]) Convenit Thom. M. p. 649. Plura apud HSt. V. 1990 A.

[7]) Codex οὐχ ὁμότιθον. Pollux ubi colligit τὰ ἐκ τοῦ ὁμο σύνθετα VI. 155, plura habet eorum quae vidimus apud Photium et ὁμότιτθον e Dinarcho affert.

[8]) Haec multo pleniora quam quae apud Harpocrationem servata sunt. Demosthenis locus est c. Aristog. I. § 51. Duos locos Isaei ex Orationibus contra Dorotheum et contra Callicratem exscribit Suidas, quem miraberis Photio nunc esse pleniorem. Cf. Prolegom. p. 108. Lysiae locus teste Suida legebatur ἐν τῇ πρὸς Μετάνειραν ἐπιστολῇ. Homeri locus est in Iliad. ψ. 83. Alia e veteribus commentariis servavit Schol. Plat. Phaed. 72 C. Paucis verbis res absoluta in Lex. rhet. Bekk. p. 255. 1. Plura quae huc pertinent vide apud HSt. V. 1995. Cobet. Mnemos. IV. 295. Codex ἐγγὺς τῶν μυρίων.

σαντες, ἐμβαλόντες εἰς καδίσκον, εἶθ' οὕτως ἐπιθέντες τὸ ἱερεῖον, συντελοῦσι τὰ ἑξῆς· χρῶνται δὲ τούτῳ καὶ πρὸς ἄλλας ἱδρύσεις καὶ θυσίας, προσαγορεύοντες ὄμπνην, εὐθένειαν οἰωνιζόμενοι· ὅθεν καὶ ἡ Δημήτηρ Ὀμπνία [1]).

ὀμπνεύειν· αὔξειν [2]).

ὄμπναι· πυροὶ μέλιτι πεφυραμένοι [3]).

ὀμπνίου νέφους· μεγίστου [4]).

ὀμφαλητομία· ὅτε αἱ μαῖαι τὸν ὀμφαλὸν τοῦ βρέφους ἀποτέμνουσι· καὶ αὐταὶ δὲ ὀμφαλητόμοι λέγονται [5]).

ὄμφακα· πᾶν τὸ αὐστηρὸν λέγουσιν [6]).

ὀμφάλειος· εἶδος σύκου, ἰσχάδος.

ὀμφαλιστήρ· ᾧ τοὺς τῶν παιδίων ὀμφαλοὺς ἀποτέμνουσιν [7]).

ὀμφύνειν· σεμνύνειν [8]).

ὀμώμοκα· Ἄρχιππος Ὄνῳ [9]).

ὀμωχέτας· Θουκυδίδης τοὺς συνναόυς θεοὺς καὶ ὁμωροφίους· Βοιωτιακὴ δὲ ἡ λέξις [10]).

ὀναίμην· ἀπολαύσω, ἐπιτύχοιμι [11]).

ὄναιντο· ὠφεληθεῖεν· καὶ ὄνασθαι· ὠφεληθῆναι.

ὀνειρόπληκτον· ὑπ' ὀνείρων πληττόμενον [12]).

ὀνειροπολεῖ· φαντάζεται [13]).

(ὄνασθαι)· ὀνήσασθαι, ὠφεληθῆναι, ἀπολαύειν [14]).

ὀνησιφόρος· ὠφέλειαν φέρων [15]).

---

[1]) Codex ὄμπην bis et Ὄμπνια.

[2]) Cf. ὀμφύνειν.

[3]) Cf. Hesych. et Lex. rhet. Bekk. p. 287. 21.

[4]) Hesych. Glossa desumta e Sophoclis Theseo, vide infra.

[5]) Codex αὖται. E Plat. Theaet. 149 D.

[6]) Cf. Phryn. Bekk. p. 53. 9: ὄμφακας βλέπειν.

[7]) Hesychius. Cf. Pollucem II. 169.

[8]) Hesychius ὀμφύνειν· αὔξειν, σεμνύνειν, ἐντιμότερον ποιεῖν. Cf. Hesychium v. ὤμφυναν. Mira res.

[9]) Scilicet istiusmodi exemplis Atticistae docebant perperam aequales ὤμοκα pronunciare; vide exempla in Phryn. Ecl.

[10]) Codex ὀμορροφίους. E Thuc. IV. 97. Similia Hes.

[11]) Hesychius.

[12]) Hesychius.

[13]) Hesychius. Ex Arist. Nub. 15.

[14]) Supplevi ὄνασθαι quod in Codice deest. Cf. ὀνίνασθαι.

[15]) Hesychius. Cf. Polluc. V. 136. Codex ἀπολαβεῖν.

ὠνητήν· ἀγοραςήν, ἐναπόλαυςον[1]).
ὀνήτωρ· ὤνησιν φέρων· καὶ ὀνάτωρ ὁμοίως[2]).
ὀνίδια· τοῦ ἵππου τὸ ἀφόδευμα[3]).
ὀνίνασθαι· ὀνεῖσθαι, ὠφελεῖσθαι.
ὀνίνησιν· ὠφελεῖ.
ὄνοι· ἐν ᾧ κρόκην νήθουσιν[4]).
ὄνοι κανθήλιοι·[5]).
ὀνοκίνδιος· ὀνηλάτης, ἀςραβηλάτης[6]).
ὄνος· τὸ ἐπάνω τοῦ μύλου· Ἀριςοτέλης δὲ κατ' ἀμφοτέρων τάσσει[7]).
ὄνος ἄγων μυςήρια· ἐπὶ τῶν ἑτέροις κακοπαθούντων καὶ παρεχόντων εὐφροσύνην· διὰ τὸ τῷ καιρῷ τῶν μεγάλων μυςηρίων ἐξ ἄςεος Ἐλευσῖνάδε τοὺς ὄνους κομίζειν αὐτοῖς τὰ ἐπιτήδεια· τότε γὰρ θλίβονται μᾶλλον τὰ πρὸς τὴν χρείαν ἀγόμενα βαςάζοντες. Δήμων ἐπὶ τοῦ μύλου λέγεσθαί φησιν, ὅτι ςεφανοῦσιν αὐτὸν τότε[8]).
ὄνος εἰς ἄχυρα· παροιμία ἐπὶ τῶν παρ' ἐλπίδας εἰς ἀγαθὰ ἐμπιπτόντων καὶ τούτοις ἀπολαυςικῶς χρωμένων[9]).
ὄνος ἐν μελίτταις· Κράτης Τόλμαις· καὶ ὄνος ἐν μύρῳ· παροιμία[10]).
ὄνος λύρας· Μένανδρος Ψοφοδεεῖ· ἡ δ' ὅλη παροιμία· Ὄνος λύρας ἤκουε καὶ σάλπιγγος ὗς· λέγεται δὲ ἐπὶ τῶν μὴ συγκατατιθεμένων μηδὲ ἐπαινούντων[11]).
ὄνος ἀκροᾶται σάλπιγγος· Εὔπολις Ταξιάρχαις[12]).

---

[1]) E Thucyd. III. 40.
[2]) Codex ὀνιάτωρ.
[3]) Codex ὀνιαία et ita quoque Hes. qnem correxit M. Schmidt. Cf. Poll. V. 91.
[4]) Cf. Hes. Poll. VII. 32. X. 125 sed ibi ἐφ' οὗ pro ἐν ᾧ.
[5]) Interprctationem pete e Lex. Bachm. Ὄνοι κανθήλιοι· οἱ σεσαγμένοι· κανθήλια γὰρ τὰ σάγματα.
[6]) Hesych. Usurpavit Eupolis apud Schol. Arist. Av. 1556.
[7]) Cf. Hesych. Fortasse ex Aelio Dionysio, vide Eustathinm p. 862. 38. Aristotelis locnm non inveni.
[8]) Ex Arist. Ran. 159. Cf. Hesych. et Diogen. 598.
[9]) E Philemone apud Athen. II. 52 E. Idem reddidit Meinekius Phrynicho Bekk. p. 7. 23. Cf. Diogen. 591.
[10]) Cf. Diogen. 632 ibiq. Intt.
[11]) Codex ἤδοχη π. Cf. Interpr. ad Diogen. 633. Imprimis compone Schol. Plat. Theaet. 146 A et Eust. p. 1601. 44.
[12]) Cf. Meinek. Fragmt. Com. II. 530.

ὄνος ἰσόσπριος· ζῷον πολύπουν σκωληκῶδες, ὃ συνειληθὲν ὅμοιον κυάμῳ φαίνεται [1]).

ὄνος ὕεται· ἐπὶ τῶν μὴ ἐπιςρεφομένων. Κηφισόδωρος Ἀμαζόσι· Σκώπτεις μ'· ἐγὼ δὲ τοῖς λόγοις ὄνος ὕομαι. Κρατῖνος Δραπέτισιν· Οἱ δὲ πυππάζουσι περιτρέχοντες· ὁ δ' ὄνος ὕεται.

ὄνου γνάθος· τόπος τῆς Λακωνικῆς· ἅμα δὲ εἰς πολυφάγον [2]).

ὄνου πόκοι· παροιμία ἐπὶ τῶν ἀνηνύτων, ὥσπερ αἱ τοιαῦται· πλίνθον πλύνειν, ἀσκὸν τίλλειν, χύτραν πλύνειν [3]).

ὄνου θάνατος· ἐπὶ τῶν ἀλλόκοτα διηγουμένων.

ὄνου παρακύψεως· ὄνου παρακύψαντος, ὄρνιθες πτοηθεῖσαι ἱςὸν ἀνέρρηξαν, ὁ δὲ δεσπότης τοῦ ἱςοῦ τῷ τοῦ ὄνου δεσπότῃ ἐνεκάλεσεν· ὅθεν ἡ παροιμία [4]).

ὄνου πόκαι· ἐπὶ τῶν ἀνηνύτων καὶ τῶν μὴ ὄντων λέγεται ἡ παροιμία ὑπὸ τῶν Ἀττικῶν· ὥσπερ αἱ τοιαῦται· πλίνθον πλύνειν, ἀσκὸν τίλλειν, χύτραν ποικίλλειν, εἰς κοπρῶνα θυμιᾶν· Ἀρίςαρχος δὲ διὰ τὸ Κρατῖνον ὑποθέσθαι ἐν Ἅιδου σχοινίον πλέκοντα, ὄνον δὲ τὸ πλεκόμενον ἀπεσθίοντα οἷον ἀποκείροντα [5]).

ὄνου σκιά· καὶ περὶ ὄνου σκιᾶς. Σοφοκλῆς Κηδαλίωνι· Ὅτι ἂν τι γίγνηται, τὰ πάντ' ὄνου σκιά· Ἀριςοφάνης Δαιδάλῳ· Περὶ τοῦ γὰρ ὑμῖν ὁ πόλεμος νῦν ἐςί; περὶ ὄνου σκιᾶς. Ἀριςοτέλης δὲ ἐν Διδασκαλίαις καὶ δράματός τινος φέρει ἐπιγραφὴν Ὄνου σκιάν· οἱ δὲ πρῶτον φθέγξασθαι τοῦτο Δημοσθένην ἀπολογούμενον ὑπέρ τινος ἐπὶ μεγάλαις αἰτίαις κρινομένου, ὡς ἑώρα θορυβοῦντας τοὺς ἀκροωμένους· παρακαλέσας γὰρ αὐτοὺς μικρὰ προσέχειν ἤρξατο διηγεῖσθαι ὡς Μέγαράδε ἀπιὼν μισθώσαιτο ὄνον· καύματος δὲ ἐν τῇ ὁδῷ γενομένου ὑπὸ τὴν σκιὰν τοῦ ὄνου βουληθείη ἀναπαύσασθαι· οὐ παρεῖναι γὰρ οὔτε δένδρον οὔτ'

---

[1]) Hesych. Glossa desumta e Sophocle qui ἐν Κωφοῖς σατύροις dixit: κυλισθεὶς ὥς τις ὄνος ἰσόσπριος, cf. Schol. Apoll. Rhod. I. 972.

[2]) Ex Eupolide, vide Hesych. et Diogen. 600.

[3]) Fortasse e Pausania, cf. Eustath. p. 787. 7. Zenob. 438. Ceterum malim χύτραν ποικίλλειν ut infra.

[4]) Zenob. 439 laudat Menandrum ἐν Ἱερείᾳ.

[5]) Vide Hesychium. Fortasse locus referendus ad Arist. Ran. 188, cf. supra. Ceterum de proverbiis non Aristarchus egit quantum scimus sed Aristophanes, cuius nomen fortasse Photio reddendum. Cf. Prolegg. p. 41.

ἄλλο τοιοῦτον οὐδέν· τὸν δὲ ὀνηλάτην κωλύειν φάσκοντα ὄνον αὐτῷ μεμισθωκέναι μόνον, οὐ μὴν καὶ σκιάν· ὥςε διατριβὴν αὐτοῖς καὶ φιλονεικίαν πολλὴν περὶ τούτου γενέσθαι· ταῦτα δὲ εἰπὼν, ὡς εἶδε τοὺς Ἀθηναίους προσέχοντας σφόδρα καὶ ἡδομένους καὶ ποθοῦντας τὰ ἑξῆς ἀκοῦσαι, ἐπέπληξεν αὐτοὺς, εἰ περὶ ὄνου μὲν σκιᾶς ἀκροᾶσθαι δέονται καὶ παρακαλοῦσιν, ὑπὲρ δὲ ἀνδρὸς περὶ τοῦ ζῆν κινδυνεύοντος οὐκ ἐθέλουσιν ἀκούειν· δῆλον δὲ ὅτι λεγομένῳ τούτῳ ἐχρήσατο Δημοσθένης· διόπερ καὶ ἐν τοῖς Φιλιππικοῖς παρῳδῶν τὴν παροιμίαν φησὶ διαφέρεσθαι τοὺς Ἀθηναίους περὶ τῆς ἐν Δελφοῖς σκιᾶς [1]).

ὀνοταζομένη· ἐκφαυλιζομένη· Ἴων Μεγάλῳ δράματι [2]).

ὄντως· ἀληθῶς [3]).

ὀνυχίζεται· ἀκριβολογεῖται· οὕτως Ἀριςοφάνης [4]).

ὄνυχος ἕλκος· οἷον ἕλκυσμα ἢ μακρὰ γραμμή [5])·

ὄνῳ τις ἔλεγε μῦθον· ἐλλείπει ὅτι ὁ δὲ ἀκούων ἐκίνει τὰ ὦτα [6]).

ὀξάλειοι· συκαῖ τινές [7]).

ὀξίνη διάθεσις· ἥν φασιν οἱ πολλοὶ τοῦ ςομάχου ὀξίδα [8]).

ὀξίνην· τὸν οἶνον, οὐκ ὀξίναν· καὶ Ἕρμιππος καὶ Φιλωνίδης καὶ οἱ ἄλλοι [9]).

ὀξίς· λαγύνιον ὀξηρόν [10]).

---

[1]) Archippi fabula fuit Ὄνου σκιά. Hesychius in voce laudat Arist. Vesp. 191 qui locus simillimus est verbis hic ex Aristophane laudatis, ita ut errorem quendam subesse crediderim. Partim alia apud Zenob. 528. App. Provv. 526 ubi vide Intt. Schol. Arist. Vesp. 191. Schol. Plat. Phaedr. 260 C.

[2]) Hesychius.

[3]) Hesychius.

[4]) Malim ὀνυχίζει. Cf. Phryn. Ecl. 126 et Bekk. p. 13. 13; 55. 9 et 74. 2.

[5]) Dobraeus confert Arist. Vesp. 108.

[6]) Cf. Intt. ad Zenob. 542.

[7]) Hesychius. Athen. III. 76 A secundum Heracleonem et Nicandrum vocabulum affert ex Apollodoro Carystio. Adde Poll. VI. 81.

[8]) Mendum latere suspicor.

[9]) Antiatt. Bekk. p. 110. 17 e Diphilo affert.

[10]) Cf. Moer. p. 281. Thom. M. p. 651. Plura HSt. V. 2048 D.

ὄξος Σφήττιον· ἴσως ἂν οἱ Σφήττιοι ὀξεῖς, ὡς οἱ Ἀχαρνεῖς κακολόγοι [1]).

ὀξύβαφον· οὐχὶ ὀξόβαφον λεκτέον [2]).

ὀξυθύμια· ὅσα καθαίροντες τὰς οἰκίας Ἀθηναῖοι νύκτωρ ἔθος ἔχουσιν ἐν ταῖς τριόδοις τεθῆναι, ταῦτα ὀξυθύμια καλεῖται [3]).

ὀξυθύμια· τὰ ἀποκαθάρματα τῶν μυσαρῶν· οἱ δὲ τὰ ἀγχονιμαῖα ξύλα· οἱ δὲ τοὺς τόπους, ἐν οἷς τὰ τοιαῦτα κατεκαίετο· Εὔπολις Δήμοις [4]).

ὀξυθυμεῖσθαι· οὐχὶ ὀξυθυμεῖν λέγουσιν, τὸ ὀργίζεσθαι ἀκραχόλως [5]).

ὀξυπρῴρῳ ταύρῳ· ὀξυκέρατι [6]).

ὀξυρεγμεῖν· ὅταν μεθ' ἡμέραν ἐποξίσῃ ἡ τροφή· Ἀριςοφάνης ἐν Σκηνὰς καταλαμβανούσαις τὴν ὀξυθυμίαν οὕτως ἔφη· Καὶ μὴν ἄκουσον ὦ γύναι θυμοῦ δίχα Καὶ κρῖνον αὐτὴ μὴ μετ' ὀξυρεγμίας [7]).

ὀξύρροπον· ὀξέως θέον [8]).

---

[1]) Arist. Plut. 720. Cf. Hesychium. Adnotatio est Didymi, ut patet coll. Athen. II. 67 D. Vide M. Schmidt. Didym. p. 76. 247.

[2]) Indidem atque Photius Phryn. Bekk. p. 56. 21 qui plura conservavit. E Phrynicho habet Helladius apud Schol. Dioscorid. in Matth. Med. p. 361, quem locum debeo HSt. V. 2051. C.

[3]) Breviter Lex. rhet. Bekk. p. 288. 7, sed plura et docte Harpocration, qui docet nostram explicationem e Didymo fluxisse, cf. M. Schmidt. Didym. p. 39. Prolegom. p. 109.

[4]) Breviter Lex. rhet. Bekk. p. 287. 24. Vide Eupolidis locum apud Harpocr. ll. Prior glossae pars Aristarchi est, quam sine dubio Didymus servavit, altera est ipsius Didymi explicatio, cf. M. Schmidt. Didym. p. 319. Codex *ἀγχονομαῖα*.

[5]) Hinc vide an corrigi debeat Eur. Androm. 689.

[6]) Hinc corrige Hesychium. Respicitur tragoediae locus qui hodie ignoratur. Fortasse latet in corruptela Soph. Tr. 13, cuius versiculi integram lectionem solus Strabo servavit, ut notum est.

[7]) Cf. Phryn. Bekk. p. 56. 19 de quo loco vide Thes. V. 2062 C. Adde Teletis locum in Stob. Flor. V. 76 qui ridicule interpolatus est ut alii viderunt. Obiter elue in fine unam maculam: *ὅτι ἡ ὄρνις ἐπιςᾶσα καταβάλοι·* imo *ἐπιπτᾶσα*. Codex *σκηναῖς — ἀκούσιον — αὐτῇ*.

[8]) Fortasse e Plat. Rep. III. 411 B.

ὀξυωπέςερος· ὀξύτερον βλέπων.
ὀξυωπεῖν· ὀξέως βλέπειν.
ὀπαζόμεναι· θεραπεύουσαι καὶ ἑπόμεναι [1]).
ὀπασθεὶς· ἐκ τῶν ὀπίσω δεθεὶς [2]).
ὀπαία κεραμὶς· ἡ τὴν κάπνην ἔχουσα· Δίφιλος Χρυσοχόῳ· — διακύψας ὁρῶ Διὰ τῆς ὀπαίας κεραμίδος καλὴν σφόδρα [3]).
ὀπαδός· ἀκόλουθος [4]).
ὀπάζει· θεωρεῖ ἢ παρέχει ἢ διώκει [5]).
ὀπὴν λεκτέον, οὐχὶ τρώγλην [6]).
ὀπή· δι' ἧς ἐςὶν ἰδεῖν· ἔνθεν καὶ ὀπήτιον [7]).
ὀπισθοδόμος· τὸ ὄπισθεν παντὸς οἰκήματος· ἢ ταμιεῖον τῆς πόλεως ἐν ἀκροπόλει ὄπισθεν τοῦ τῆς Ἀθηνᾶς νεώ [8]).
ὀπισθοτίλαν· τὴν σηπίαν οἱ Βοιωτοὶ ὄπισθεν ἀ(ποτιλῶσαν) [9]).
ὄπισθεν καὶ κατόπιν· Ἱππεῦσιν [10]).
ὀπίαν τυρόν· τὸν πεπηγότα ὑπὸ ὀποῦ [11]).
Ὀπικίαν· τὴν τῶν Ὀπικῶν χώραν. Θουκυδίδης [12]).
Ὀπικοί· οἱ περὶ τὴν Ἰταλίαν οἰκοῦντες.
ὁπλαί· αἱ πυξίδες· τῶν ἵππων οἱ ὄνυχες [13]).
ὁπλή· ὁ κυκλοειδὴς πούς τῶν κτηνῶν, οἷον βοῶν, προβάτων καὶ τῶν λοιπῶν τῶν ἐχόντων μικροὺς ὄνυχας ἐν τοῖς τῶν ποδῶν ὀπισθίοις.

---

1) Hesychius.
2) Hesych. ibiq. M. Schmidt. cuius tamen rationem improbo.
3) Brevius Hesychius.
4) Hesychius.
5) Pro *θεωρεῖ* malim *θεραπεύει*, vide supra. Aliter Dind. ad HSt. V. 2075 A.
6) Cf. Moer.
7) Cf. Polluc. II. 53. Vide Heringae Obs. Crit. p. 55.
8) Similia Lex. rhet. Bekk. p. 286. 26. Cf. Harp.
9) Codex *ὀπισθοτείλαν*, sed praestat *ὀπιτθοτίλαν*, nam observatio ducta est e Strattidis loco quem servavit Athen. XIV. 622 A. Cf. Hesychium et Eustath. p. 1818. 4. Locum supplevit Porsonus.
10) Scilicet Arist. Eq. 625. Nempe hoc vult Athenienses non tantum dixisse *ὄπισθεν* sed etiam *κατόπιν*.
11) Codex *ὀπιάντορον*. Respicitur Eur. Cycl. 136, cf. Athen. XIV. 658 C.
12) Thucyd. VI. 4.
13) Hesychius. Cf. Thes. V. 2094. A.

ὀπλιτεύειν· ὁπλίζεσθαι.
ὀπλίττομαι· οὐ πείθομαι· καὶ τοῦτο Βοιώτιον· Ἀριστοφάνης Ἐκκλησιαζούσαις [1]).
ὄμπνιος χείρ· πλουσία χείρ, πλούσιος [2]).
ὄμπνιον νέφος· μέγα, πολύ, ηὐξημένον. Σοφοκλῆς Θησεῖ [3]).
ὄμπνιος λειμών· ὁ σῖτος καὶ οἱ Δημητριακοὶ καρποί, ἐπεὶ Ὀμπνία ἡ Δημήτηρ λέγεται [4]).
ὀμπνιηρὸν ὕδωρ· τὸ τρόφιμον [5]).
ὄποι· ὅπου.
ὅποι ποτέ· ὅπου ποτέ [6]).
ὀπός· τὸ τῶν δένδρων δάκρυον· καὶ τὸ ἀποστάλαγμα τοῦ γάλακτος [7]).
ὅπου γε δή· [8]).
ὁ προτυχών· οὐχ ὁ προστυχών [9]).
ὀπτάνιον· τὸ μαγειρεῖον [10]).
ὀπτήρια· ἀνακαλυπτήρια [11]).
ὀπωπέναι· ἑωρακέναι [12]).
ὀπωρώνας· ὠνητὰς ὀπώρας [13]).
ὅρα δὴ καὶ σκόπει· Δημοσθένης ἐν τῷ πρὸς Λεπτίνην· ἀντὶ τοῦ· βλέπε τοῖς ὀφθαλμοῖς [14]).
ὁρᾶτε· ἀντὶ τοῦ ἐνθυμεῖσθε· ὁ αὐτὸς ἐν τῷ περὶ τῆς παραπρεσβείας [15]).

---

1) Nihil ejusmodi in Eccles. legitur. Cobetus corrigit ὁ πίττομαι· adi quoque M. Schmidt. ad Hesych. Equidem ἐπέχω· fortasse latet proverbium quod in App. Vatic. 217 est, de quo cf. Erasmum et Nauck. Arist. Byz. p. 238.
2) Codex ὄπνιος. Hesychius ὀμπνειόχειρ.
3) Codex ὄπνιον. Supra ὀμπνίου νέφους.
4) Codex ὄπνιος et Ὀπνία. Cf. supra et Hesychium.
5) Codex ὀπνιηρόν. Recte Hesychius.
6) Hesychius.
7) Cf. Hesych. Indidem atque Photius, sua habere videtur Eust. p. 619. 44. Plura HSt. V. 2108 sqq.
8) Parva lacuna in Codice.
9) Imo plane contra est, quod vidit Cobetus.
10) Codex ὀπτανεῖον. Cf. Phryn. Ecl. p. 120. Hesych.
11) Cf. Hesych. et Poll. III. 36.
12) Vide an illud reddi debeat Platoni in Cratyl. 399 C.
13) Cf. Phryn. Ecl. p. 88 laudantem Dem. Cor. § 262.
14) Demosth. Leptin. § 84.
15) Demosth. Fals. Leg. § 48.

ὀργᾶν· τὸ ἐπείγεσθαι· καὶ κατοργᾶν· τὸ κατεπείγειν [1]).

ὄργανα χρόνου· ἐν Τιμαίῳ· τοὺς πλάνητας, τοὺς δ' εἰς σελήνης, τοὺς δ' εἰς ἄλλα ὅσα ὄργανα χρόνου [2]).

ὀργάς· χωρίον οἷον ἄλσος μέγα· καὶ ὀργεῶνες· οἱ εἰς τοῦτο συνάγοντες καὶ τοῖς ἐνταῦθα θεοῖς ὀργιάζοντες [3]).

ὀργάς· θυσία, τελετή, μυςήρια [4]).

ὀργάς· ἡ εὔγειος καὶ σύμφυτος καὶ λιπαρὰ καὶ ἀκμαία [5]).

ὄργια· μυςήρια, ἱερά [6]).

ὀργεῶνες· οἱ τοῖς ἰδίᾳ ἀφιδρυμένοις θεοῖς ὀργιάζοντες· ὀργιάζειν δέ ἐςι τὰ τῶν θεῶν ὄργια τελεῖν, τουτέςι μυςήρια καὶ νόμιμα· Νόμων δ'· μὴ κεκτῆσθαι ἔσω ἐν ἰδίαις οἰκίαις ἱερά· τὸν δὲ φανέντα κεκτημένον ἕτερα καὶ ὀργιάζοντα πλὴν τὰ δημόσια. Σέλευκος δὲ ἐν τῷ ὑπομνήματι τῶν Σόλωνος ἀξόνων ὀργεῶνάς φησι καλεῖσθαι τοὺς συνόδους ἔχοντας περὶ τινὰς ἥρωας ἢ θεούς· ἤδη δὲ μεταφέροντες καὶ τοὺς ἱερέας οὕτω καλοῦσιν· ὁ γοῦν Ἀντίμαχος ἐν τῇ Λύδῃ· Γενεᾷ Καβάρνους θῆκεν ἀγακλέας ὀργειῶνας· καὶ ὁ Αἰσχύλος ἐν Μυσοῖς τὸν ἱερέα τοῦ Καΐκου προσαγορεύων· Ποταμοῦ Καΐκου χαῖρε πρῶτος ὀργεών· Εὐχαῖς δὲ σῴζοις δεσπότας Παιωνίας· περὶ δὲ τῶν ὀργεώνων γέγραφεν καὶ Φιλόχορος· τοὺς δὲ φράτορας ἐπάναγκες δέχεσθαι καὶ τοὺς ὀργεῶνας καὶ τοὺς ὁμογάλακτας οὓς γεννήτας καλοῦμεν [7]).

---

1) Convenit fere Timaeus.

2) Plat. Tim. 42 D. Quaedam corrupta sunt in hac glossa.

3) Plenius de hac voce apud Harpocr. ibiq. Intt.

4) Malim certe ὄργια scribere.

5) Timaeus omittit καὶ σύμφυτος.

6) Hesychius.

7) Glossa Platonica, ut vides. Confer Harpocrationem in v. et apparebit non integras superesse Harpocrationis observationes quod multi credunt, sed ad breviorem formam redactas. Platonis locus legitur in Legg. X. 910 B, sed ibi recte est μὴ κεκτῆσθαι θεῶν ἐν ἰδίαις. De Antimachi fragmento vide quae Bernhardyus ad Suidam congessit. Philochori fragmentum laudavit quoque Harpocr. v. γεννῆται, unde restitues: οὓς νῦν γεννήτας καλοῦμεν, vide quoque Phot. v. ὁμογάλακτες. Ceterum memoratu digna est ingeniosa Gaisfordi conjectura: Ἀντίμαχος ἐν τῇ Λύδῃ γ'· ἔνθα Κ.- Cf. Cobetum Mnem. IX. 429. Codex .β.
ἀγακλέας ὀργίωνας.

ὀργάδες· τὰ ἱερὰ χωρία· ἤτοι ἀπὸ τῶν ὀργίων ἢ τῶν μυςηρίων· ἢ παρὰ τὸ ὀργᾷν ὅ ἐςιν ἐπιθυμεῖν· καὶ γὰρ ἐπιθυμοῦντες τρυγᾷν τὰ ἱερὰ φυτά, οὐ τολμῶσι διὰ τὸ ἐπάρατα εἶναι [1]).
ὀργεῶνες· πρῶτοι ὀργίων καὶ τελετῶν συγγενικῶν· ἀλλαχοῦ οὕτως [2]).
Ὀργάνη ἡ Ἐργάνη· ἡ Ἀθηνᾶ [3]).
ὀργεῶνες· σύνταγμά τι ἀνδρῶν, ὡς (τὸ) τῶν γεννητῶν καὶ φρατόρων· ὀνομασθὲν ἀπὸ τοῦ κοινῇ ὀργιάζειν οἷον θύειν καὶ εὔχεσθαι [4]).
ὀργεωνικὰ ἐςι θύματα· τὰ κοινὰ τῶν ὀργεώνων [5]).
ὀργῶσα· ἐπιθυμοῦσα ἢ μανιῶσα [6]).
ὀριγνωμένοις· ἐπιθυμοῦσιν [7]).
ὀρέγει· παρέχει [8]).
ὀρέγεται· ἐπιθυμεῖ [9]).
ὄρειοι πόδες· αἱ κῶπαι [10]).
ὀρεχθεῖν· ἐπιθυμεῖν· ταὐτὸν καὶ ὀρεκτιᾶν [11]).
ὀρείχαλκος· ὁ διαυγὴς χαλκός [12]).
ὀρέξει· δώσει, ἐκτείνει [13]).
ὄρεξις· ἐπιθυμία [14]).

---

[1]) Cf. Lex. rhet. Bekk. p. 287. 14. Harp. et Phot. supra.
[2]) Vide infra.
[3]) Hesychius. Cf. supra v. Ἐργάνη.
[4]) Haec coniungenda sunt cum illo ἀλλαχοῦ οὕτως in gl. sup. Inserui τό e Lex. rhet. Bekk. p. 286. 11.
[5]) Cf. Harp. v. δημοτελῆ.
[6]) Cf. Hesychium v. ὀργῶσαν.
[7]) Codex ὀργιωμένοις. Corr. Dobr. Cf. Hesychium v. ὀριγνώμενοι. Perperam Porsonus: ὀργιουμένοις. Adde Cobet. Mnem. IX. 43.
[8]) Hesychius.
[9]) Hesychius.
[10]) Rectius Hesychius ὀρείοις ποσί, e tragoedia quadam, ut apparet.
[11]) Codex ὀρεκτεῖν, sed vide Arist. Nub. 1368. Adi quoque Hesychium.
[12]) Hesychius. Plura servavit Schol. Apoll. Rhod. IV. 973 qui in fine addit: Οὕτως ἦν ἐν τῇ κωμικῇ λέξει τῇ συμμίκτῳ, de quo loco vide Nauckium Aristoph. Byzant. p. 222 et Didym. M. Schmidt. p. 70.
[13]) Cf. Hesychium et Timaeum.
[14]) Hesychius.

ὀρεωκόμος· ὁ ἐπιμελητὴς τῶν ἡμιόνων· ὀρεὺς γὰρ ὁ ἡμίονος [1]).

ὀρέςης· ἐν ὄρεσι διαιτώμενος.

ὀρεῖς· ἡμιόνους· καὶ ὀρεωκόμους· τοὺς ἐπιμελουμένους τῶν ἡμιόνων.

ὀρδάνιον· ἐν ᾧ ἦν ὕδωρ ἵν' οἱ περιρραινόμενοι καθαροὶ ἀπέρχωνται [2]).

Ὀρθάνης· Πριαπώδης θεός· ἐντέτακται Ἑρμῇ καὶ Νύμφαις [3]).

ὀρθοκέρως· ὀρθόθριξ· Σοφοκλῆς [4]).

ὀρθόκωμος Ἡρακλῆς· ἵδρυται Ἀθήνησιν.

ὀρθοῖ· σώζει.

ὀρθῆς δὲ τῆς πόλεως οὔσης ἐπὶ τούτοις· ἀντὶ τοῦ κεκινημένης καὶ πεφοβημένης· Ὑπερείδης φησίν· ὀρθῆς δ' ἡμῖν τῆς πατρίδος οὔσης· Αἰσχίνης δὲ ἀντὶ τοῦ ἀπαθοῦς καὶ ἀκεραίου [5]).

ὀρθὴν δ' ἐντυγχάνει· ἀντὶ τοῦ εὐθύς· Ὑπερείδης.

ὄρθιον νόμον καὶ τροχαῖον· τοὺς δύο νόμους ἀπὸ τῶν ῥυθμῶν ὠνόμασεν Τέρπανδρος· ἀνατεταμένοι δ' ἦσαν [6]).

ὀρθοπλὴξ ἵππος· ὀρθὸς ἐπαιρόμενος καὶ πλήσσων· Ἀριςοφάνης Ἀναγύρῳ· Ὡς δ' ὀρθοπλήξ· πέφυκε γὰρ δυσγάργαλις [7]).

ὀρθόπτερον· Σοφοκλῆς Αἰθίοψιν ὀρθοὺς ἔχοντα κολωνούς· τὰ γὰρ εἰς ὕψος ἀνέχοντα πτερὰ ἔλεγον· καὶ τὰ περίςφα [8]).

ὀρθρογόη· χελιδών [9]).

ὀρθόφρων· ἀνατεταμένος καὶ μετέωρος ταῖς φρεσίν· οὕτως Σοφοκλῆς [10]).

---

[1]) Cf. infra gl. ὀρεῖς. De orthographia HSt. V. 2169 B.

[2]) Rectius scribetur ἀρδάνιον, cf. Lex. rhet. Bekk. p. 441. 30, Polluc. VIII. 66, Eust. p. 707. 32. Hesych.

[3]) Sic Porsonus, sed vix recte. Codex ἐντέτεκται ἑρμοῦ καὶ νύμφης. Quid lateat apparct ex Hesych.; ipsa verba restitui non possunt. Vocabulum e comoedia desumtnm est.

[4]) Cf. Hesych. et Poll. II. 31.

[5]) Aeschinis locum nondnm inveni.

[6]) Cf. Hesych. et Poll. IV. 65. Omnes indidem. Codex ἀνατετραμμένοι· emendata lectio apud Suid.

[7]) Eustathius p. 629. 54 laudat e rhetorico lexico.

[8]) Cf. Hesychium qui ὤμους pro κολωνούς. Conf. Photinm v. ἐσφηκωμένον.

[9]) Codex ὀρθογόη. Idem vitium in Hesychio. Usurpavit Hesiod. Oper. 566.

[10]) Hesych. om. Sophoclis nomen.

ὀρθοστάδιοι· οἱ στατοὶ χιτῶνες· οἱ γὰρ συρόμενοι συρτοί [1]).
ὄρθριον· ἀντὶ τοῦ ὄρθρου.
ὀρθριάζειν· μαντεύεσθαι [2]).
ὀρθριοφοίτης· ὁ παραγενόμενος ὄρθρου.
ὀρθῶς· κατ' ὀρθὴν γνώμην· καὶ ἐστὶν ἀμείνων ἡ λέξις τοῦ καλῶς ἐπὶ τῶν τοιούτων ἐννοιῶν [3]).
ὀριγνώμεθα· ὀρεγόμεθα.
ὀρκάνη· περίφραγμά τι ἀκανθῶδες [4]).
ὀρκάνη· ὁ περιέχων τοῖχος οἴκησιν ἢ χωρίον· λέγεται δὲ ἀπὸ τοῦ ἕρκος, ὅ ἐστι περιβόλου φράγμα [5]).
ὀρκάνας· εἱρκτάς [6]).
ὀρκαπάτην· χλευαστὴν δι' ὅρκων.
ὀρκάνην· τὴν σαργάνην λέγουσιν [7]).
ὀρκίζειν καὶ ὁρκοῦν· ἑκατέρως.
ὀρκίλλεσθαι· τὸ διακενῆς ὀμνύναι [8]).
ὀρκύπτεσθαι· ὑπερκύπτειν ἐπ' ὀνύχων ἱστάμενον [9]).
ὁρκωμοσία· τὰ θύματα καὶ ἱερεῖα [10]).
ὁρκωμοτεῖν· τὸ ὀμνύναι· Ἀριστοφάνης Βαβυλωνίοις.
ὁρκωτὰς οὐχὶ ὁρκιστὰς οὐδὲ ὁρκωμότας λέγουσιν [11]).
ὁρμᾶν· οὐ τὸ ἐξιέναι που, ἀλλὰ τὸ ὁρμῇ πρός τι χρῆσθαι [12]).
ὁρμαθός· σύνδεσμος, στοῖχος [13]).
ὅρμενα· τὰ τῆς κράμβης· Ποσείδιππος Συντρόφοις· ἔνδοθι προνο-

---

[1]) Observatio e Pausania desumta videtur, cf. Eust. p. 1166. 51. Cf. porro Hesych. Poll. VII. 84. Phryn. Ecl. p. 102.
[2]) Hesych. ὀρθιάζειν, sed cum Alberto malim θριάζειν, cf. Phot. v. θριαί et Lex. rhet. Bekk. p. 265. 15.
[3]) Cf. supra v. καλῶς.
[4]) Convenit Lex. rhet. Bekk. p. 285. 11. Cf. Eust. p. 233, 41.
[5]) Cf. Harp. et Hesych.
[6]) Fortasse ex Eur. Bacch. 611. Cf. Hesych.
[7]) Cf. Hesychium.
[8]) Albertus mavult ὀρκίδδεσθαι. Sed vide Thes. V. 2199 B et M. Schmidt. ad Hesych.
[9]) Cf. Hesych. ὀρκύπτειν et Suid. v. ὤρκυπτεν et ὤρκυπτον.
[10]) Cf. Poll. I. 38 et Phryn. Bekk. p. 53. Hesych.
[11]) Codex ὀρκωντας.
[12]) Codex ἐξεῖναι.
[13]) Fortasse e Plat. Ion. 539 E. Codex στῖχος.

μεύειν ὅρμενα· παρὰ τοῖς παλαιοῖς οὐχ εὕρομεν· Νικοςράτῳ· ῥήτορες Ἐξωρμενικότες δυσχερεῖς·παλιναίρετοι [1]).

ὁρμιάν· Ἀντιφάνης Ἀλιευομένῃ.

ὅρμενον· τὸ ἄγριόν τι λάχανον κυρίως οὕτως καλούμενον· καταχρηςικῶς δὲ καὶ πᾶν τὸ ἐκκεκαυληκὸς παντὸς λαχάνου καὶ ἄνθους [2]).

ὁρμίσκος καὶ ὅρμος· περιτραχήλιος κόσμος, ἐνώτια, χαλαςήρια [3]).

ὁρμωμένους· προθυμουμένους· λέγεται δὲ καὶ ὁ γενεαλογούμενος [4]).

ὀρνιθευομένου· μαντευομένου δι' ὄρνιθος.

ὀρνίθεια δίκτυα· ἐν οἷς τὰ ὄρνεα ἁλίσκεται [5]).

ὀρνιθευτήν· ἰξευτήν [6]).

ὀρνιθοκόοι· ὀρνιθοσκόποι [7]).

ὄρνις· Ἀττικοί· Ἴωνες δὲ ὄρνιξ· καὶ αἱ πλάγιαι ἀκολούθως· καὶ Δωριεῖς ὄρνιξ· παρ' Ἀλκμᾶνι δὲ ἅπαξ ὄρνις· Ἀδεὲς ἦτορ ἔχων ἁλιπόρφυρος εἴαρος ὄρνις [8]).

ὄροβοι· ὀσπρίου τι εἶδος γνωρίμου [9]).

ὀρογυίας λέγουσιν οὐχὶ ὀργυίας. Ἀριςοφάνης [10]).

ὀρόγκους· τοὺς τῶν ὀρῶν ὄγκους [11]).

ὅρος· καὶ τὰ ὅρια τῆς χώρας καὶ τὰ τέλη ὅροι ὀνομάζονται [12]).

ὅρος· ἐπιγραφόμενος τοῖς ὑποκειμένοις χωρίοις καὶ ταῖς οἰκίαις [13]).

---

[1]) Recte Meinekius Fragmt. Com. III. 290 quem vide, reponit Νικόςρατος. Repete corruptelam ex omisso fabulae nomine. Cf. Phryn. Ecl. p. 111. Bekk. p. 38. 18.

[2]) Cf. supra. Adde Hesychium.

[3]) Cf. Hesychinm et Moer. p. 289.

[4]) Cf. Arist. Plut. 257.

[5]) Plat. Legg. VII. extr. Cf. Harp.

[6]) Cf. Harpocr.

[7]) Codex ὀρνιθοκλόνοι, cf. Thes. V. 2222 A.

[8]) Alcmanis locum laudat quoque Athen. IX. 574 D, sed plenius exstat apnd Antig. Caryst. Hist. Mir. c. 27 ubi νηλεές pro ἀδεές. Bergkius scribit νηλεγές. Apparet Athenaeum et Photinm sua indidem habere, nempe e Pamphilo.

[9]) Similiter Lex. rhet. Bekk. p. 286. 24.

[10]) Hinc Porsonus emendat Arist. Av. 1130, vid. Alb. Indic.

[11]) Cf. Hesychium ibiq. M. Schmidt.

[12]) Plura in Lex. rhet. Bekk. p. 285. 12. Cf. Harp.

[13]) Coniunge cum gl. sup. cf. Lex. rhet. Bekk. ll.

ὀρός· τὸ λεγόμενον ὑφ' ἡμῶν ῥύπον· ἐςὶ δὲ ὑποςάθμη γάλακτος[1].
ὀροσάγγαι· σωματοφύλακες βασιλέως[2].
ὀρονύχιον· ὅρος νυκτερινὸς τουτέςι φυλακή.
ὀρρωδεῖν· ἀντὶ τοῦ φοβεῖσθαι· καὶ ὀρρωδία· τὸ δέος[3].
ὀροτύπος· ὑλοτόμος[4].
ὀροτύπους· τοὺς γίγαντας ὅτι ταῖς τῶν ὀρῶν κορυφαῖς ἔβαλλον[5].
ὄροφος καὶ ὀροφή· ςέγη[6].
ὀροφοιτῶντα· εἰς ὄρη περιερχόμενα[7].
ὄρρος· τράμις καὶ ὀρροπύγιον· οὕτως καὶ οἱ Ἴωνες· ὀρθοπύγιον δὲ παρ' οὐδενὶ τῶν Ἑλλήνων[8].
ὄρρος· ὁ ταῦρος[9].
ὀρσολοπεῖν· λοιδορεῖν, πολεμεῖν.
ὀρσολοπεῖται· διαπολεμεῖται[10].
ὀρτάλιχοι· οἱ μηδέπω πετόμενοι νεοττοί[11].
ὄρτυγας· συςέλλοντες οἱ Ἀττικοὶ λέγουσι τὸ υ· καὶ τὸν ὀρτυγοκόπον βραχέως· δηλοῖ Ἀριςοφάνης Δαιταλεῦσιν[12].
ὀρτυγοκόπος· παιδιά τις ἐν ᾗ ὄρτυγας ἱςᾶσιν ἐν γύρῳ οὓς τύπτουσιν εἰς τὴν κεφαλήν· καὶ ὁ μὲν ἐν τῷ γύρῳ καταβαλὼν τὸν ὄρτυγα λαμβάνει ἑξῆς οὓς ἂν δύνηται· ὁ δὲ ἀποτυχὼν παρέχει θατέρῳ τοὺς ὄρτυγας τύπτειν· καὶ τοῦτο ἀνὰ μέρος ποιοῦσιν· λέγει οὖν ἐν Ἀλκιβιάδῃ· οὐκ, ἀλλὰ πρὸς Μειδίαν

---

[1] Cf. Eust. p. 906. 59 et 1625. 64. Hesych.

[2] Cf. Hesychium et plenius in Lex. rhet. p. Phot. p. 585. Respicitur Sophoclis locus ut videtur, nam Herodotus aliter usurpat.

[3] Plura in Lex. rhet. Bekk. p. 284. 30.

[4] Cf. HSt. V. 2256 B. Ὀροτόμος Porsonus.

[5] Ad Hesych. locum cf. M. Schmidt.

[6] Cf. Hesychium.

[7] Hesych. περιερχόμενον, cf. M. Schmidt.

[8] Cf. Moer. ibiq. Piers. et M. Schmidt. Didym. p. 77. 249. Hesych. Vide Prolegg. p. 38.

[9] Cf. Ammonium quocum convenit Hereunius Philo apud Eustath. p. 906. 50.

[10] Hesych. Ex Aesch. Pers. 10. Codex ὀρσοπλῆται.

[11] Hesychius.

[12] Codex ὀρτυγοκόμον. Olim de hac re quaesitum fuisse videmus ex Athen. IX. 393 B, qui laudat Demetrium Ixiona, qui contrariam doctrinam tuetur.

δεῖ σε ἀποβλέποντα τὸν ὀρτυγοκόπον καὶ τοιούτους ἄλλους· ἐμφαίνων ὅτι οὐ πρὸς τοὺς τυχόντας ὁ ἀγὼν ἐςί, πρὸς δὲ τοὺς ἀρίςους· διόπερ οὐ ῥᾳθυμητέον[1]).

ὀρτυγομήτρα· ὄρτυξ μέγας[2]).

ὀρτυγοκοπεῖν· ἐν γύρῳ τιθέντες ὄρτυγα εἰώθασιν ἐπ' αὐτὸν βαδίζειν· ἔπειτ' ἐὰν μὲν πληγεὶς ὁ ὄρτυξ ἔλθοι πτερυσσόμενος, περὶ τὸν πατάξαντα γίνεται τὸ βραβεῖον καὶ ἀποφέρει τὸν ὄρτυγα· ἐὰν δὲ μείνῃ περὶ τὸν ἄντικρυς, καὶ ἀποφέρει τοῦτόν τε αὐτὸν καὶ ἕτερον παρὰ τοῦ λειφθέντος[3]).

ὀρφανιςαί· ἀρχὴ ἐπὶ τῶν ὀρφανικῶν ἵνα μηδὲν ἀδικῶνται.

ὀρχάτοις καὶ ὄρχοις· ςίχοις ἀμπέλων ἢ ἑτέρων φυτῶν[4]).

ὀρχίλος· βασιλικὸς σαλπιγκτής· ὄρνεον ὁμοίως σάλπιγγι φθεγγόμενον[5]).

ὀρχιπεδεῖν· τὸ περὶ τὰ παιδία κακοσχολεῖσθαι[6]).

ὀρχήςρα· πρῶτον ἐκλήθη ἐν τῇ ἀγορᾷ· εἶτα καὶ τοῦ θεάτρου τὸ κάτω ἡμίκυκλον οὗ καὶ οἱ χοροὶ ᾖδον καὶ ὠρχοῦντο· εἰς τὴν ὀρχήςραν· — ἔτι γὰρ τὴν θέαν ᾠκεῖτ' ἐκεῖ, φησὶν ὁ κωμικός[7]).

ὄρχους· τὰς κατὰ ςίχον φυτείας[8]).

ὀρχήςρα· τὸ νῦν τοῦ θέατρου λεγόμενον σίγμα· ἐκεῖ γὰρ ὠρχοῦντο οἱ χοροί[9]).

---

[1]) Vides glossam Platonicam esse. Respicitur Alcib. I. 120 A ubi minus recte ὀρτυγοτρόφον, quod in ὀρτυγοκόπον mutandum est non tantum fide Photii sed etiam Athen. XI. 506 D et Schol. Arist. Av. 1297. Pro ἐμφαίνων Codex ἐν Φαίδωνι, quod primus correxit Leopardus ad Suidam. Cf. Cobetum Mnemos. IX. 430.

[2]) Hesych. Vocabulum est apud Cratinum et Aristophanem.

[3]) Codex ὀρτυγοσκοπεῖν. Manent quaedam corrigenda sed medicina non satis certa est. Vide supra et Pollnc. IX. 107.

[4]) Convenit Schol. Arist. Acharn. 995.

[5]) Ex Arist. Av. 568, cf. Hesych.

[6]) Etymologia valde inepta. Praeterea vera forma est ὀρχιπεδίζειν, sed apud Arist. Av. 142 olim legebatur ὠρχιπέδησας pro ὠρχιπέδισας. Cf. Cobet. Mnem. V. 202.

[7]) Codex ὠῖκειτ', vide Dobraeum et Meinekium Fragmt. Com. IV. 658.

[8]) Convenit Lex. rhet. Bekk. p. 287. 16.

[9]) Convenit Lex. rhet. Bekk. p. 286. 16.

ὅσα μὴ ἀπῆν τό γε ἀτρεμεῖν· ὅσον καὶ ἐφ' ὅσον χρόνον οὐκ ἀπῆν αὐτοῦ τὸ ἀτρεμεῖν [1]).

ὅσα μὲν τὸ δοκεῖν κακωθεῖσαι, τὸ δ' ἀληθὲς κακῶν ἀπαλλαγεῖσαι· ἀντὶ τοῦ τὸ μὲν δοκεῖν κακωθεῖσαι καὶ ἑξῆς.

ὁσημέραι· διαπαντός, πάντοτε, καθ' ἡμέραν [2]).

ὅσια· ταῖς θυσίαις ἐπιλέγεσθαι ἀπηρτισμέναις· οἷον ἐφεῖται καὶ ὅσιόν ἐςι γεύεσθαι ἤδη τῶν ἀποτεθυμένων [3]).

ὅσιον χωρίον· τὸ βέβηλον καὶ μὴ ἱερόν, εἰς ὃ ἔξεστιν εἰσιέναι· Ἀριςοφάνης Λυσιςράτῃ· ὦ πότνι' Εἰλείθυι', ἐπίσχες τοῦ τόκου, ἕως ἂν εἰς ὅσιον ἀπέλθω χωρίον· καὶ ὅσια χρήματα τὰ μὴ ἱερά· λέγεται δὲ καὶ τὸ δίκαιον ὅσιον [4]).

ὁσίους θαλάμους· τοὺς μὴ θείους ἀλλ' ἀνθρωπίνους [5]).

ὁσιωθῆναι ἡμέρας λέγουσιν ἐπὶ θανάτῳ τινός· οἷον μὴ ἱερὰς ἀλλ' ὁσίας νομισθῆναι [6]).

ὀσμή· ἡ δὲ ὀδμή Ἰακόν [7]).

ὀσμύλια· ἰχθύδια εὐτελῆ· Ὀσμύλια καὶ μαινίδια καὶ σηπίδια· φησὶν Ἀριςοφάνης [8]).

ὅσον βιώσιμον· ὅσον ζῆσαι.

ὅσον οὐκ ἀποτετέλεσο· ἀντὶ τοῦ σχεδόν [9]).

ὅσον οὔπω· ταχύ, μετ' ὀλίγον ἢ ἀντὶ τοῦ ἤδη [10]).

ὄσσος· ὀφθαλμός· ἐν τῇ τραγῳδίᾳ ἀρσενικῶς, παρ' Ὁμήρῳ οὐδετέρως [11]).

---

1) **Desumtum ex Aristide III. p. 404 notante Abreschio. Unde haec glossa in Photium manaverit non exputo. Cf. Prolegom. p. 62.**

2) **Conveniunt Schol. Plat. Charmid. 176 B. et Hesych.**

3) **Malim sane** ἐπιλέγεται.

4) **Convenit Schol. Plat. Rep. I. 344 A. Apud Aristoph. Lysistr. 743 pro** ἀπέλθω **legitur** μόλω' γώ. **Codex** Εἰλείθυα.

5) **Hesych. E tragoedia petitum crediderim.**

6) **Glossa petita videtur e Xen. Hell. III. 3. 1, cf. HSt. V. 2286 C. Adi quoque Cobet. Mnem. V. 385.**

7) **Cf. Antiatt. Bekk. p. 110. 23. Eandem observationem vide apud Phryn. Bekk. p. 56. Lobeck. p. 89.**

8) **Cf. Hesych. Fragmentum petitum ex Aristoph. Danaidibus, vide Poll. II. 76 coll. cum Athen. VII. 324 B.**

9) **Thuc. IV. 69.**

10) **Thuc. VI. 34. Cf. Cobet. Mnem. VIII. 300.**

11) **E lexico rhetorico idem excerpsit Eust. p. 855. 37.**

ὀςακός· οἱ δὲ ἀςακός· καράβου εἶδος· καὶ τὴν πόλιν τὴν Ἄςακον Ὄςακον Ἴωνες· Κάρ᾽ ὦ χάρων· Ὄςακος ἐκτίσθη ὑπὸ Χαλκηδονίων [1]).

ὀςαφίδα· οὐχ ὅπως Κρατῖνος Νόμοις· — ὁ δὲ Ζεὺς ὀςαφίσιν ὕσει τάχα· ἀλλὰ καὶ Πλατων η' Νόμοις· τῆς δ' εἰς ἀπόθεσιν ὀςαφίδος [2]).

ὄςινον· οὐκ ὀςέϊνον· Ἀριςοφάνης Ἀχαρνεῦσι [3]).

ὀςοῦν· δισυλλάβως οὐκ ὀςέον λέγουσιν οἱ Ἀττικοί [4]).

ὀςολογεῖν· ὀςᾶ συλλέγειν [5]).

ὀςολόγος· παρ' Ἐπιλύκῳ· καὶ δρᾶμα Αἰσχύλου Ὀςολόγοι.

ὀςράκων· τῶν τοῦ ᾠοῦ· Αἰσχύλος [6]).

ὀςρακίνδα· παιδιὰ ἡ ἐπ' ὀςράκων [7]).

ὀςράκου περιςροφή· παροιμία ἐπὶ τῶν ταχέως τι ποιούντων λεγομένη [8]).

ὀςρακισμός· οἱ κακονούςατοι τῷ δήμῳ ἐξωςρακίζοντο καὶ κατεδικάζοντο, ὀςράκοις ἐγγραφόντων τὸ ὄνομα τοῦ φευξομένου [9]).

ὀςρακισμὸς καὶ ἐξοςρακισμός· φυγῆς ἐςιν εἶδος ὀνομασθὲν ἐκ τοῦ εἰς ὄςρακον ἐγγράφειν ἕκαςον τῶν Ἀθηναίων, εἴ τις αὐτοῖς ἐνομίζετο πρέπειν μεθίςασθαι τῆς πόλεως [10]).

ὄςρεια· σὺν τῷ ι μᾶλλον [11]).

---

[1]) Brevius Hesych. Dobraeus corrigit καὶ ὁ Χάρων pro Κάρ' ὦ χάρων. Cf. Athen. III. 105 B.

[2]) Hinc corrigendus videtur Plat. Legg. VIII. 845 B. Cf. Athen. III. 105 B. Vide quoque Lex. rhet. Bekk. p. 455. 28 ubi docemur apud Atticos utramque formam in usu fuisse. Aliter Lex. rhet. Bekk. p. 453. 27.

[3]) Ex Arist. Acharn. 863. Conveniunt Poll. II. 232. Antiatt. Bekk. p. 110. 27. Phryn. Bekk. p. 54. 30. Hinc Platonis Timaeum corrigit Lobeckius, vid. HSt. V. 2305 B.

[4]) Cf. Moer. p. 284. Thom. M. p. 659.

[5]) Cf. Lex. rhet. Bekk. p. 286. 23.

[6]) Ipsum Aeschyli versum vide apud Hesychium.

[7]) Fortasse ex Arist. Eq. 851. Cf. Hesych. qui interpretatur παιδιὰ ἣν ἐπὶ τῷ ὀςράκῳ. Poll. IX. 110.

[8]) Glossa Platonica, cf. Schol. Plat. Rep. VII. 521 C. Plura congessit Schneidewinus ad Diogen. 595.

[9]) Hesychius.

[10]) Plura in Lex. rhet. Bekk. p. 285. 20 sed docta imprimis est adnotatio in Lex. rhet. p. Phot. p. 675. 12.

[11]) Cf. Moer. p. 285. Cobet. Mnem. XI. 241.

ὄϛριμα· περίβολοι κτηνῶν καὶ οἷον ἐπαύλεις· Ἀντίμαχος Θηβαΐδι· — βοῦς ὀϛρίμου ἐξήλασσεν [1]).

ὀσφραίνεσθαι λέγουσιν ὡς ἡμεῖς.

ὄσχη· τὸ σὺν τοῖς βότρυσι κλῆμα.

ὀσχοφορεῖν· ἑορτή τις ὀσχοφόρια καλουμένη· ὄσχος γὰρ καλεῖται κληματίς, ἐκκειμένους ἔχουσα τοὺς βότρυας, ἣν εὐγενὴς παῖς ἔφερεν εἰς τὸ ἱερὸν Σκιράδος· ὁ τρόπος δι' ὃν τοῦτο ἐγίνετο, διάφορος τοῖς παλαιοῖς ἀπεδόθη [2]).

ὅτ' ἂν οὖν· πάνυ μὲν οὖν [3]).

ὄτλος· ὁ πόνος καὶ ὁ μόχθος· καὶ ὀτλεῖν τὸ μοχθεῖν [4]).

ὄτοβος· θόρυβος.

ὁ τὸν πατέρα εὑρὼν χαλκοῦ χρείᾳ [5]).

ὁ τὸν κυσὸν τρωθεὶς ἤδη Αἰσώπου μάλιϛα τοῦ κράνους χρεία [6]).

ὅτου χάριν· τίνος ἕνεκεν [7]).

ὀτρυγηφάγον· τὸν κριθοφάγον· Ἀρχίλοχος κατὰ πλεονασμὸν τοῦ ο· τρύγη γὰρ ὁ Δημητριακὸς καρπός [8]).

ὄττα· φήμη· μαντεία διὰ κληδόνος· καὶ ὀττεύεσθαι τὸ μαντεύεσθαι [9]).

ὁ τυχών· ὁ παρατυχών· λέγουσι δ' ὅταν τὴν προσπάθειαν καὶ τὸ φιλόϛοργον δηλώσῃ, οὐχ ὁ τυχών [10])·

ὅτῳ γὰρ φίλον· ᾧτινι ἀρέσκει.

---

1) Cf. Hesychium.

2) Codex ἡ οὖν εὐγενής, quod correxi. Cf. Lex. rhet. Bekk. p. 285. 29 et Harpocr. Scribitur etiam per ω, cf. Hesych. et Lex. rhet. Bekk. p. 318. 27. Codex ὠσχοφορεῖν et ὠσχοφόρια.

3) Non expedio.

4) Cf. Hesychium.

5) Nihil expedio.

6) Dobraeus corrigit Ἤιδεις ὅπου μ. recte ut opinor, sed praestat fortasse ᾔδησθ'. Versus sunt choliambici ut vides; alibi ni fallor non exstant.

7) Hesych. Bernhard. ad Suid. laudat Arist. Plut. 260. 281.

8) Cf. Hesychium. Archilochi versiculum vide apud Eustath. p. 1597. 28. Cf. Bergkium Archil. fragmt. 31. Cf. Hesychium v. ἀτρυγηφάγου.

9) Convenit Schol. Plat. Legg. VII. 800 C. Brevius Timaeus.

10) Non prorsus intelligo.

οὐ γὰρ ἄκανθαι· λεγόμενον ἐπὶ τῶν ὠφελίμων ἀπὸ τῆς τοῦ βίου ἐπὶ τὸ ἠρεμώτερον μεταβολῆς [1]).

οὐδαμῇ· ἀντὶ τοῦ οὐδαμόθι· Τηλεκλείδης Ἡσιόδῳ [2]).

οὐδαμά· οὐδέποτε· Ἀριστοφάνης [3]).

οὐδαμῶς· κατ' οὐδένα τρόπον.

οὐδ' ἀπὸ γείσων ὕσεν· ἐπὶ τοῦ ἐλαχίστου [4]).

οὐδ' Ἡρακλῆς πρὸς δύο· τοὺς γὰρ Μολιονίδας ἔφυγε· Δήμων δὲ ἐν β' τῆς δευτέρας συντάξεως Ἡρακλέα τὸν Ἰδαῖον Δάκτυλον καταδείξαντα Ὀλύμπια, πρὸς δύο διαπυκτεύσαντα ἡττηθῆναι [5]).

οὐδεὶς δυσώνης χρηστὸν ὄψωνεῖ κρέας [6]).

οὐδείς· οἱ παλαιοὶ διὰ τοῦ δ· οἱ δὲ νεώτεροι καὶ διὰ τοῦ θ οὐθείς [7]).

οὐδεὶς κομήτης ὅστις οὐ περαίνεται [8]).

οὐδὲν ἄπο τρόπου· ἀντὶ τοῦ οὐκ ἀπεικός· Ἀττικοί [9]).

οὐδένες· τὸ πληθυντικὸν τοῦτο σύνηθες τοῖς παλαιοῖς· καὶ οὐδένων καὶ οὐδέσι καὶ οὐδένας.

οὐδ' ἐν δέρματι· ἀντὶ τοῦ γυμνός, ὑπερβολικῶς [10]).

οὐδὲν γὰρ οἷον ἀκούειν αὐτοῦ τοῦ νόμου· οὐ γὰρ τοιοῦτον ἐγὼ δύναμαι εἰπεῖν οἷον ὁ νόμος [11]).

οὐδὲν ἱερόν· Ἡρακλῆς εἶπεν Ἀδώνιδος ἰδὼν ξόανον· ὡς τῶν εὐεργετησάντων τοὺς ἀνθρώπους μόνων ὀφειλόντων τιμᾶσθαι· ἢ ὅτι οἱ καταφυγόντες εἰς αὐτὸ δοῦλοι ἄδειαν οὐκ εἶχον [12]).

οὐδὲν λευκῶν ἀνδρῶν ὄφελος [13]).

---

[1]) Proverbium quod bis usurpavit Aristophanes, cf. Hesych. in v. Cf. Intt. ad Greg. Cypr. Cod. Mosq. 21.

[2]) Antiatt. Bekk. p. 110. 25.

[3]) Codex οὐδαμᾷ. Hesych. omittit Aristophanis nomen.

[4]) Nota corruptelam apud Apostol. 1314: οὐδ' ἀπὸ γῆς ὤνησεν.

[5]) Codex Δίων pro Δήμων. Cf. Interpr. ad Zenob. 449.

[6]) Ex Aelio Dionysio, cf. Eust. p. 455. 37. Plura Interpr. ad App. Prov. 335. Codex ὄψον ἢ κ.

[7]) Cf. Phryn. Ecl. 76. Thom. M. p. 661. Ammon. 105.

[8]) Vide Intt. ad Apostol. 1231.

[9]) Hesych. om. Ἀττικοί. Cf. Schol. Plat. Theaet. 143 C. Exempla apud Stallbaumium ad Plat. Rep. V. 470 B.

[10]) Cf. Hesych. Codex οὐδὲν δ.

[11]) Demosth. Med. § 46. Vide supra v. οἷον.

[12]) Vide de hoc proverbio Intt. ad Zenob. 447.

[13]) Ex Aelio Dionysio, cf. Eust. p. 455. 37. In Codice duo semiversus vacui.

οὐδὲν πρὸς ἔπος [1]).

οὐδὲν πρὸς τὸν Διόνυσον· Ἐπιγένους τοῦ Σικυωνίου τραγῳδίαν εἰς αὐτὸν ποιήσαντος ἐπεφώνησάν τινες τοῦτο· ὅθεν ἡ παροιμία· βέλτιον δὲ οὕτως· τὸ πρόσθεν εἰς τὸν Διόνυσον γράφοντες τούτοις ἠγωνίζοντο, ἅπερ καὶ Σατυρικὰ ἐλέγετο· ὕϛερον δὲ μεταβάντες εἰς τραγῳδίας γράφειν, κατὰ μικρὸν εἰς μύθους καὶ ἱϛορίας ἐτράπησαν, μηκέτι τοῦ θεοῦ μνημονεύοντες· ὅθεν καὶ ἐπεφώνησαν· καὶ Χαμαιλέων ἐν τῷ περὶ Θέσπιδος τὰ παραπλήσια ἱϛορεῖ, Θεαίτητος δὲ ἐν τῷ περὶ παροιμίας Παρράσιόν φησι τὸν ζωγράφον ἀγωνιζόμενον παρὰ Κορινθίοις ποιῆσαι Διόνυσον κάλλιϛον· τοὺς δὲ ὁρῶντας τά, τε τῶν ἀνταγωνιϛῶν ἔργα ἃ κατὰ πολὺ ἐλείπετο, καὶ τὸν τοῦ Παρρασίου Διόνυσον ἐπιφωνεῖν· τί πρὸς τὸν Διόνυσον· ἐπὶ τῶν μὴ τὰ προσήκοντα τοῖς ὑποκειμένοις φλυαρούντων [2]).

οὐδ' ἐν σελίνοις· ἐπὶ τῶν μηδ' ἐπὶ τὴν ἀρχὴν ἐφθακότων· ἀπὸ τῶν ἐπὶ τοὺς κήπους ἰόντων· ἐπὶ γὰρ τὰ ἄκρα, τοὺς λεγομένους περικήπους, σέλινα καὶ πήγανα κατεφύτευον· βούλεται οὖν λέγειν ἡ παροιμία· οὔπω οὐδ' ἀρχὴν ἔχεις τοῦ πράγματος, καθάπερ οὐδὲ οἱ ἐν τοῖς κήποις εἰσιόντες ἐν τοῖς σελίνοις εἰσίν [3]).

οὐδὲν φρονεῖ δίκαιον ἐϛυκὼς ἀνήρ [4]).

οὐδὲ πυρφόρος· ὅταν πολλοὺς ἀποφῆναι βουλώμεθα τοὺς τελευτήσαντας, λέγομεν ὅτι οὐδὲ πυρφόρος ὑπελείφθη· οἷον· οὐδὲ ὁ τὸ πῦρ εἴσων εἰς τὴν πόλιν, καθάπερ εἰ ἐλέγομεν· οὐδὲ σκηνοφύλαξ ἤ τις τῶν παραπλησίων [5]).

οὐδὲ τἀρχαῖον ποιεῖ· ἐπὶ τῶν μὴ λυσιτελούντων· ὁ δ' ὀξὺ κριθεὶς ἐπὶ τῶν ἐλαχίϛων [6]).

οὐδ' ὑφ' ἕνων· Ἀττικοὶ ἀντὶ τοῦ ὑπ' οὐδένων λέγουσιν ὑπερβιβάζοντες [7]).

---

[1]) Arist. Eccl. 751. Cf. Intt. ad Greg. Cypr. Cod. Mosq. 372.

[2]) Cf. Intt. ad Zenob. 440.

[3]) Usurpavit Arist. Vesp. 478. Cf. Hesych. et App. Provv. 338 ibiq. Intt.

[4]) Ex Aelio Dionysio, cf. Eustath. p. 455. 37. Cobet. Mnem. V. 201. In Codice versus vacuus.

[5]) Cf. Intt. ad Zenob. 434. Proverbium usurpavit Herodt. VIII. 6, alii.

[6]) Haec corrupta sunt. Proverbium alibi non invenio.

[7]) E Xen. Hell. V. 4. 1 cui reddidit Cobet. Mnem. VI. 55.

οὐ καθέςηκεν· οὐ νήφει, μαίνεται.
οὐκ ἂν δύναιο γαςρὶ πενθῆσαι νεκρόν [1]).
οὐ καλῶς· ἀντὶ τοῦ κακῶς.
οὐκ ἂν ἐβίων· οὐκ ἂν ἐβίωσα [2]).
οὐκ αἰσθήσομαι· οὐ προσποιήσομαι.
οὐκ ἄπο τρόπου· οὐ πόρρω τρόπου.
οὐκ ἂν φθάνοιμι τὴν μάχαιραν παρακονῶν [3]).
οὐκ ἀσκίῳ· ἀντὶ τοῦ κενῷ· ἀσκίοις γὰρ τὰ παιδία μορμολύσσεται [4]).
οὐκ ἀποτευκτήσεις· οὐκ ἀποτεύξῃ λέγουσι καὶ οὐκ ἀτυχήσεις [5]).
οὐκ ἀψάλακτος· οὐκ ἀκρότητος οὐδὲ ἀράπιςος [6]).
οὐκ ἄτραχυς· ὁ τραχύς [7]).
οὐκ ἐμποίνιμον· οὐ δόκιμον [8]).
οὐκ ἐκφρῶσιν· οὐκ ἐξαφῶσι. Σοφοκλῆς [9]).
οὐκ ἐντελεῖς· ἀντὶ τοῦ οὐκ ἐγκαλέσεις [10]).
οὐκ ἐπιγλωττήσομαι· οὐ βλασφημήσω [11]).
οὐκ ἐπαινεθείης οὐδ' ἐν περιδείπνῳ· ἐπὶ τῶν μηδενὸς ἀξίων ἡ παροιμία· εἰώθεσαν γὰρ ἐν τοῖς περιδείπνοις τὸν τελευτήσαντα ἐπαινεῖν, καὶ εἰ φαῦλος ἦν [12]).
οὐκ ἐσκοράκισεν·. οὐχ οἷον ἔφη οὐκ ἐς κόρακας, ἀλλ' οἷον οὐχ ὑπερηφάνησεν, οὐκ ἐφρυάξατο.

---

1) Proverbium ductum ex Hom. Iliad. τ. 225. Codex γαςήρ.
2) Codex ἐβίω.
3) Codex φθανοίμην. Cf. Dobr. et Cobet. Mnemos. V. 201. VIII. 146.
4) Codex ἀσκίω et μορμύσσεται. Respicitur Crates Ἥρωσιν, cf. App. Provv. 346. Locum ipsum servavit Hesych. in voce.
5) Aelium Dionysium hic laudasse suspicor Arist. Nub. 426. Cf. Lobeck. Phryn. 764.
6) Codex ἀποψάλακτος quod Lobeckius correxit ad Phrynich. 764. Cf. Hesych. v. ἀψάλακτος qui addit Σκύθαις Σοφοκλῆς, sed perperam habet ἀκράτητος.
7) Cf. M. Schmidt. ad Hesych.
8) Refer ad versiculum: Ἀφροδίσιος γὰρ ὅρκος οὐκ ἐμποίνιμος.
9) Videtur potius Euripidis esse e Phoen. 264, ubi vide Scholion, de quo Dindorfius egit in Praef. Poet. Scen. p. 29. Cobet. Mnem. XI. 442.
10) Cobet. ἐγκαλεῖς. Mihi locus videtur gravius vitium alere.
11) Hesych. Ex Arist. Lysistr. 37.
12) Similiter Zenob. 428.

οὐκ ἐς μακράν· ἀντὶ τοῦ ταχέως.
οὐκ ἐτός· οὐκ ἀπεικότως ἢ οὐ μάτην· παρὰ τὸ ἐτώσιον ὅ ἐςι μάταιον· οἱ δὲ οὐκ ἀλόγως [1]).
οὔκουν· οὐδαμῶς.
οὐ κωφεῖ· οὐ βλάπτει· Σοφοκλῆς ἐν τῷ ἐπὶ Ταινάρῳ Σατύροις [2]).
οὐλάδες· πῆραι [3]).
οὐ λελήθασι· φανεροί εἰσιν [4]).
οὐλόκομος· Ἄλεξις [5]).
οὐλόθριξ· οὐχὶ οὐλότριχος· καὶ οὐλότριχα οὐχὶ οὐλότριχον.
οὐ μάλα κυκκᾶ· τὸ μηδέν [6]).
οὐ μάλα κυκκᾶς· παροιμία οὐδὲν σημαίνουσα [7]).
οὐ μηκέτι· ἀντὶ τοῦ οὐκέτι· Μένανδρος.
οὐ μὴ δ' ἐρεῖς· ἀντὶ τοῦ παῦσαι λέγων [8]).
οὐ μήν· ἀλλὰ μήν, οὐδαμῶς, οὐ μόνον· ἢ ἔτι μήν, ὅμως δέ [9]).
οὗ· ἑαυτοῦ· ὧν δὲ ἑαυτῶν [10]).
οὐ παντὸς ἀνδρὸς ἐς Κόρινθον ἔσθ' ὁ πλοῦς· διὰ τὸ τὰς ἑταίρας ὑπὲρ τῶν Ἑλλήνων εὔξασθαι, φασίν, ἐν τῷ μεγάλῳ πολέμῳ τῇ Ἀφροδίτῃ· ἢ διὰ τὸ δυσείσβολον εἶναι τὸν πλοῦν· ἢ ἐπεὶ πολλαὶ ἦσαν ἑταῖραι καὶ τῶν πλουσίων μόνον ὁ πλοῦς [11]).
οὐ παρῆν· οὐ παρήμην [12]).
οὐραγεῖ· τὸ τέλος ἄγει τοῦ ςρατοῦ [13]).

---

[1]) Cf. Schol. Plat. Rep. VIII. 568 A. Brevius Timaeus.

[2]) Codex οὐκ ὤφιξεν — ἐν ἐπὶ τεράρῳ — correxit Dobraeus. Recte Hesychius οὐ κωφεῖ, ubi vide M. Schmidt. Adde HSt. IV. 2213 D et VII. 1771 D. Apud Dindorfium Sophoclis fragmentum est 223.

[3]) Hesych. Ruhnkenius mavult θυλάδες, cf. HSt. V. 2380 C.

[4]) Isocr. Panegyr. § 12.

[5]) Cf. Poll. II. 23. In Codice deest semiversus.

[6]) Sic Cod. Plura Hes. sed itidem corrupta. Cf. M. Schmidt. et Intt. ad Diogen. 604.

[7]) Vide glossam super.

[8]) Legitur alicubi apud Sophoclem, ni fallit memoria.

[9]) Convenit Schol. Plat. Legg. VIII. 822 C.

[10]) Sophron dixit ὤν, cf. Apollon. de Pron. 122 C.

[11]) Cf. Hesych. et Zenob. 437, ibiq. Intt.

[12]) Malim παρῆ.

[13]) Cf. Hesych. Fortasse e Sap. Sir. 35. 11.

οὔπως· οὐδένα τρόπον· καὶ Θουκυδίδης ε' καὶ Ὅμηρος· Ὦ γέρον οὔπως τοῦτο ἐγὼ τελέεσθαι ὀΐω [1]).

οὐ ῥᾳδίως· ἀντὶ τοῦ κακῶς· Θουκυδίδης· Ἀριϛογείτων ὕϛερον λαμφθεὶς οὐ ῥᾳδίως διετέθη, Ἁρμόδιος δὲ αὐτοῦ παραχρῆμα ἀπόλλυται [2]).

οὐρανία αἶξ· ἢ οἱ εὐχόμενοι πάντως ἐπετύγχανον· ἴσως διὰ τὸ τὴν Σελήνην αὐτῇ ἐποχεῖσθαι· Κρατῖνος Χείρωσιν· Αἶξ οὐρανία [3]);

οὐράνιον· μέγα [4]).

οὐρανίαν παιδιάν· ὅταν τὴν σφαῖραν εἰς τὸν οὐρανὸν ἀναβάλλωσιν [5]).

οὐρανιζέτω· πρὸς τὸν οὐρανὸν διικνείσθω· Αἰσχύλος [6]).

οὐράνιον ἄχος· τὸν κονιορτόν· Σοφοκλῆς [7]).

οὐράνιον νέφος· ἤτοι τὸ κατ' οὐρανὸν ἢ ὑπ' οὐρανὸν ἐλαυνόμενον [8]).

οὐράν· αἰδοῖον· Σοφοκλῆς [9]).

οὐρητιᾶν ὁμοίως ἡμῖν λέγουσιν.

οὔρια πλεῖν λέγουσιν.

οὐρίσαι· ἀποκαταϛῆσαι εἰς οὔριον [10]).

οὔριος· ἐπιδέξιος, ἐπιτήδειος ἄνεμος [11]).

οὐροδόκην· τὴν ἀμίδα· Ξενοφῶν· οὔρειον δὲ βῖκον, Ἀντισθένης [12]).

οὐσίας δίκη· οὐσίας εἰσάγουσι δίκην πρὸς τοὺς ἑαλωκότας ἐν προτέρᾳ δίκῃ χρέους ἢ καρποῦ, ὡς δέον ἀπολαμβάνειν αὐτοὺς ἐξ ὅλης τῆς οὐσίας ἃ κατεδίκασαν [13]).

---

[1]) Thucyd. V. 15. In Hom. Odyss. *γ*. 226 legitur: *οὔπω τοῦτο ἔπος τ.*

[2]) Thuc. VI. 57. Brevius Hesych.

[3]) Cratinus dixerat *δωροδοκούντων αἶγ' οὐρανίαν*, cf. Zenob. 26. Similiter atque Photius Hesychius. Aliter Pausanias apud Eust. p. 917. 33.

[4]) Cf. Arist. Ran. 781. 1135. Similiter Hesych.

[5]) Codex *οὐράνιον*. Cf. Hesych. Poll. IX. 106.

[6]) Hoc malo quam Hesych. *οὐρανίζετο*.

[7]) Hesych. E Soph. Antig. 418.

[8]) Hoc e Cratino est, cuius locum servavit Hephaest. p. 46. Cf. M. Schmidt. ad Hesych.

[9]) Cf. Hesych. v. *οὐραί* qui omittit Sophoclis nomen.

[10]) Eadem e veteribus laudat Eust. p. 1452. 46.

[11]) Cf. Hesychium.

[12]) Xenophontis nomen hic vitiosum videtur M. Schmidtio. Vide quoque Cobet. Mnem. VI. 304. Xenophon nominaverat *προχοΐδα*.

[13]) Cf. Harpocr. et infra.

οὐσίαν· τὰ χρήματα ὡς ἡμεῖς· Εὔπολις Πόλεσιν· Ὃς τὴν Μαραθῶνι κατέλιφ' ἡμῖν οὐσίαν· Ἀριςοφάνης Πλούτῳ· — κοὐσίαν τ' εἶχον συχνήν [1]).

οὐσίας δίκη· οἱ δικαζόμενοι περὶ χωρίου καὶ οἰκιῶν πρὸς τοὺς ἔχοντας οὐσίας λέγονται δικάζεσθαι, προτέραν μὲν δίκην τὴν τῶν οἰκιῶν, περὶ ἐνοικίων· δευτέραν δὲ περὶ καρποῦ τῶν χωρίων· τρίτη δὲ ἐπὶ τούτοις ἐγίνετο ἡ ἐξούλης· καὶ ἐξῆν τοῖς ἑλοῦσι τοῦτο κρατεῖν τῶν κτημάτων κἂν ἡττηθεῖεν τὴν πρώτην τοῦ ἐνοικίου δίκην καὶ τοῦ καρποῦ τὴν δευτέραν· εἰ δὲ καὶ τὴν τρίτην ἡττηθεῖεν τὴν ἐξούλης οὐκέτι ἐξῆν ἐπικρατεῖν ἀλλ' ἐξίςασθαι ἤδη τῶν κτημάτων [2]).

οὖς· ὠτὸς ἡ γενική· οἱ δὲ Ἴωνες οὔατος.

οὑτοσί· ἀναφορικῶς καὶ δεικτικῶς λέγουσιν.

οὐ τρέφει μία λόχμη δύο ἐριθάκους· ἐπὶ τῶν ἐκ μικροῦ τινὸς κερδαίνειν σπουδαζόντων· ἐρίθακος δ' ἐςὶν ὄρνεον μονῆρες καὶ μονότροπον [3]).

οὐ φροντὶς Ἱπποκλείδῃ· παροιμία ἧς μέμνηται Ἕρμιππος ἐν Δημόταις· Ἱπποκλείδης ὁ Τισάνδρου μέλλων γαμεῖν Ἀγαρίςην τὴν Κλεισθένους τοῦ Σικυωνίου θυγατέρα τοῦ τυράννου, ἐν αὐτῇ τῇ τῶν γάμων ἡμέρα, ἀπωρχήσατο περιττῶς· μεταβουλευσαμένου δὲ τοῦ Κλεισθένους καὶ Μεγακλεῖ τῷ Ἀλκμαίωνος τὴν θυγατέρα δόντος, πρὸς δὲ τὸν Ἱπποκλείδην φανερῶς εἰπόντος ὅτι ἀπώρχηται τὸν γάμον τὸν Ἀγαρίςης, ὑποτυχὼν ἔφη· οὐ φροντὶς Ἱπποκλείδῃ [4]).

οὐχ ἥκιςα· μάλιςα, πάνυ, οὐχ ἧττον [5]).

οὐχὶ καὶ ναίχι· Ἑλληνικά.

οὐχ οἷόν τε· οὐ δυνατόν [6]).

ὄφελμα· αὔξημα· Σοφοκλῆς [7]).

---

[1]) Codex ἐν Μαραθῶνι. Tum Dobraeus in Indice mavult: Πλούτῳ β'· οὐσίαν. Locus est in Arist. Plut. 754.

[2]) Cf. Harpocr. et Lex. rhet. Bekk. p. 285. 34. Codex ἐξῆν τοῖς ἐθέλουσι.

[3]) Cf. supra v. μία λόχμη.

[4]) Historia ducta ex Herodt. VI. 129. Cf. Hesych. et Zenob. 431 ibiq. Intt.

[5]) Cf. Timaeum et supra v. ἥκιςα.

[6]) Hesych. interpr. οὐχ οἷοί τε.

[7]) Hesych. omittit Sophoclis nomen. Cf. Eust. p. 1887.

ὄφελον καὶ ὄφελες καὶ ὄφελε· τοῖς προσώποις συσχηματίζουσιν ὡς ῥῆμα· καὶ διὰ τοῦ ω· ὤφελον ἐγὼ καὶ ὤφελες σὺ καὶ ὤφελεν οὗτος· τάττουσιν αὐτὰ ἐπὶ πραγμάτων ἤδη γεγονότων ἃ ἐβουλόμεθ' ἂν ἄλλως γεγονέναι· οἷον ὤφελε μὴ γεγενῆσθαι τόδε· ὤφελον μὴ πεπραχέναι τοῦτο· Μένανδρος [1]).

ὄφεις· ψέλια δρακοντωτά [2]).

ὄφις· ἐκτείνουσι κατὰ τὸ ἑνικόν [3]).

ὄφις ὀροφίας· λέγεται οὕτως [4]).

ὄφεις παρείας· τοὺς ἐπηρμένας ἔχοντας τὰς παρειάς· δοκοῦσι δὲ ἤπιοι εἶναι καὶ μὴ ἀδικεῖν ἀνθρώπους, ἐσθίειν δὲ τοὺς ἔχεις καὶ εἶναι τῶν μυστηρίων ἱεροί [5]).

ὀφθαλμιᾶσαι· φθονῆσαι, ἐπιβαλεῖν ἐπιθυμητικῶς ἢ τοὺς ὀφθαλμοὺς πάσχειν [6]).

ὀφθαλμὸν ἐπιβαλεῖν· τὸ περιέργως θεάσασθαι· οὕτως Ἄλεξις [7]).

ὀφθαλμὸν βασιλέως· [8]).

ὄφλημα· χρεώστημα [9]).

ὄφλησις· χρέος, ὀφειλή.

ὀφλάνειν· ἀντὶ τοῦ ὀφλισκάνειν [10]).

ὄφλειν καὶ ῥόφειν· τὰς πρώτας συλλαβὰς τῶν τοιούτων οἱ Ἀττικοὶ ὀξύνουσιν [11]).

ὀφλισκάνουσι καὶ ὄφλουσι· χρεωστοῦσιν.

ὀφρυάζειν· τὸ συνάγειν τὰς ὀφρῦς [12]).

---

[1]) Cf. Moer. et Thom. M. p. 665.

[2]) Hesychius in v. Menandrum laudat; hinc eius nomen e superiore glossa huc retraxerim.

[3]) Exemplum est apud Aesch. Choeph. 542.

[4]) Cf. Poll. VII. 120 et Eust. p. 1448. 62. Codex ὀφισυροφειας.

[5]) Dem. Cor. § 260. Similiter Lex. rhet. Bekk. p. 286. 29. Cf. Schol. Arist. Plut. 690.

[6]) Codex ὀφθαλμίσαι. Corr. ex Hesych. et Lex. Bachm.

[7]) Codex ἐπιβάλλειν. Antiatt. Bekk. p. 110. 15 add. Ἄλεξις Τροφωνίῳ.

[8]) Ex Hesych. supple τὸν πεμπόμενον κατάσκοπον. Refero ad Arist. Acharn. 92. In Codice semiversus vacuus.

[9]) Cf. Herodian. Piers. 471. Thom. M. p. 666. Hesych.

[10]) Hesychius.

[11]) Observatio est Aelii Dionysii, cf. Eust. p. 1430. 40. Ad rem vide Cobet. Mnem. VIII. 48. XI. 247.

[12]) Cf. Hesych. Phryn. Bekk. p. 53. 29 et Poll. II. 50.

ὀΦρύην· τὸ μετέωρον· Εὐριπίδης[1]).
ὀΦρυόεντες· ὑπερήΦανοι[2]).
ὀΦρυόεις· ὑπερήΦανος.
ὄχανον· ὅθεν ἡ ἀσπὶς κρατεῖται τῇ χειρί.
ὀχάνοις· δεσμοῖς[3]).
ὀχεία· μίξις, συνουσία[4]).
ὀχεῖον· ἅρμα, δίΦρος, ἅμαξα[5]).
ὄχετλα· ὀχήματα· ἐν ἄλλῳ σχήματα[6]).
ὀχετόκρανα· τὰς λεγομένας ἐκχύσεις τῶν μηχανημάτων· εἰσὶ δὲ αὗται ξύλιναι ἢ κεράτιναι· οἱ δέ Φασι τοὺς ὑπονόμους καὶ τοὺς ὑπὸ γῆν ὀχετούς[7]).
ὀχετεύει· σαλεύει, μεταΦέρει[8]).
ὀχετός· σωλήν, ἀγωγός, ῥύαξ[9]).
ὄχθοι· αἱ τραχεῖαι καὶ δύσβατοι πέτραι· αἱ ἐξοχαί[10]).
ὄχθοιβος· λῶμα· Φερεκράτης Λήροις· Μίτραν ἁλουργῆ, στρόΦιον, · ὄχθοιβον, κτένα[11]).
ὀχθοίβους· τὰ λώματα· ἔστι δὲ περὶ τὸ στῆθος τοῦ χιτῶνος ἁλουργὲς πρόσραμμα[12]).
ὄχθους· ὕψη, ὑψηλοὺς αἰγιαλούς[13]).
ὄχλος· τὸ πλῆθος καὶ τὴν ὄχλησιν[14]).

---

[1]) Ex Eur. Heracl. 394. Cf. Hesych.
[2]) Hesychius.
[3]) Plura Hesychius.
[4]) Hesychius.
[5]) Cf. Lex. rhet. Bekk. p. 287. 32. Harp. Hesych.
[6]) Bene ὀχήματα, perperam σχήματα. Cf. Hesych. et Proleg. p. 130 et 169.
[7]) Fere eadem in Lex. rhet. Bekk. p. 287. 6. Poll. X. 30 ex Hyperide laudat. Vide quoque Etym. M. p. 644. 48 unde rectius scribes κεράμεαι quam κεράτιναι.
[8]) Credo respici Plat. Legg. II. 666 A. Pro σαλεύει scripseram σωληνεύει, sed nunc vide M. Schmidt. ad Hesych.
[9]) Cf. Hesychium.
[10]) Fere eadem Hesychius.
[11]) Cf. Hesychium. Etym. M. p. 570. 54 et infra.
[12]) Fortasse respicitur altera Arist. Thesm. editio, cf. Poll. VII. 95.
[13]) Cf. Hesych. Fortasse respicitur Aesch. Agam. 1161.
[14]) Lex. rhet. Bekk. p. 287. 30.

ὀχῶν· ὀχευτικῶς ἔχων [1]).

ὀχμάζεται· συνέχεται, χειροῦται [2]).

ὄχος Ἀκεσσαῖος· ἐδόκουν αἱ Σικελικαὶ ἡμίονοι εἶναι σπουδαῖαι· ἡ γὰρ Ἄκεσσα Σικελικὴ πόλις· Σοφοκλῆς Ὑδροφόροις· Ὄχοις Ἀκεσσαίοισιν ἐμβεβὼς πόδα [3]).

ὄψανον· τὴν ὄψιν [4]).

ὀψαρτυτής· μάγειρος [5]).

ὀψαρτυτική· μαγειρική.

ὀψιπέδων· οὐχὶ ὀψὲ πεπεδημένος ἀλλὰ ὀψὲ λελυμένος [6]).

ὀψὲ ὁδοῦ· ὀψὲ πορείας.

ὀψιαίτερον· οὐκ ὀψίτερον.

ὀψιπέδων· ὁ μέχρι πολλοῦ ἐν πέδαις γεγονώς· σύνηθες Μενάνδρῳ τὸ ὄνομα [7]).

ὄψιν· οὐ τὸ πρόσωπον οὐδὲ τοὺς ὀφθαλμούς, ἀλλὰ τὴν πρόσοψιν λεκτέον [8]).

ὀψισθῆναι· τὸ ὀψὲ ἐλθεῖν λέγουσιν [9]).

ὀψ' ἦλθες ἀλλ' εἰς τὸν Κολωνὸν ἴεσο· παροιμία· λέγεται ἐπὶ τῶν μισθαρνούντων [10]).

ὀψιγενής· βραδέως γεννηθείς [11]).

ὄψος· μοχθηρός [12]).

ὀψώνιον· τὴν ὀψωνίαν· τὸ δὲ παρ' ἡμῖν ὀψώνιον μισθὸν λέγουσι καὶ σιτηρέσιον [13]).

Τέλος τοῦ Ο ϛοιχείου.

---

1) Codex ὀχλῶν· ὀχ. ὀχῶν, correxi ex Hesych.
2) Cf. Hesychium voce ὀχμάζει.
3) In Codice Sophoclis senarius perperam adhaeret glossae ὄχανον. Cf. Hesych. qui rectius Ἀκεϛαῖος et Ἀκέϛη.
4) Hesych. Ex Aesch. Choeph. 534 ut videtur.
5) Hesych. Poll. VI. 37 ex Hyperide laudat.
6) Codex ὀψεπέδων. Cf. Hesych. qui perperam ὀψιπαίδωνας.
7) Cf. supra.
8) Cf. Thom. M. p. 668.
9) Cf. Hesych. et Antiatt. Bekk. p. 110. 29.
10) Cf. Hesych. Poll. VII. 133. App. Provv. 349 ibiq. Intt.
11) Codex ὀψιγεννής, sed cf. Hesych.
12) Mira glossa. Convenit Hesych.
13) Cf. Poll. VI. 38.

Ἀρχὴ σὺν θεῷ τοῦ Π΄ στοιχείου.

Πάγας· δίκτυα, παγίδας [1]).
πάγη· θηρατικὸν ὄργανον· καὶ ἔστι τετράγωνον [2]).
παγκάλης· πάνυ καλῆς [3]).
παγκρατιασταῖς· ἀθληταῖς, πύκταις [4]).
παγκράτιον· πυγμή, ἀγών, ἄθλησις [5]).
πάγκυφος ἐλαία· ἡ κατακεκυμμένη [6]).
πάγον εὐτειχῆ· ἐν ὄρει τετειχισμένην [7]).
παθαίνεσθαι· οὐ δεινοπαθεῖν [8]).
παιάν· εἶδος ᾠδῆς [9]).
παιᾶνας· κώμους, εὐφημίας [10]).
Παιανίαζε ἐπορεύετο· μὴ Παιανιοῖ· τὸ γὰρ Παιανιοῖ τὴν ἐν τόπῳ σημαίνει δύναμιν [11]).
παιδαγωγηθεῖσαν πόλιν· ἀντὶ τοῦ ἀχθεῖσαν [12]).
παιδάριον· οὐ μόνον τὸ ἄρρεν ἀλλὰ καὶ τὸ θῆλυ λέγουσι [13]).
παιδάρια· τὰ μείζονα καὶ τὰ ἄρτι γεγονότα λέγεται [14]).

---

[1]) Fortasse e Sophoclis fragmento 378 Dind. Cf. M. Schmidt. ad Hesychium.
[2]) Convenit Lex. rhet. Bekk. p. 294. 29.
[3]) Scripserim: Παγκαλής· πάνυ καλή. Illud παγκαλής olim legebatur Plat. Min. 319 C.
[4]) Plat. Legg. VIII. 830 A legitur παγκρατιαστάς, cf. Hesych.
[5]) Plat. Legg. VII. 795 B, alii.
[6]) Poll. VI. 163 ex Aristophane laudat. Cf. Hesych. et supra κυφός. Codex κατακεκαμμένη quod correxi.
[7]) Ex Eur. Androm. 1010. Rectius Hesych.: τετειχισμένον.
[8]) Imo contra est.
[9]) Cf. Hesychium.
[10]) Reddiderim Plat. Symp. 177 A, ubi cf. Schol. Vide quoque Hesychium.
[11]) Codex Παιάνιζε. Corr. Porsonus.
[12]) Plat. Legg. VI. 752 C.
[13]) Similiter Lex. rhet. Bekk. p. 298. 10. Cf. Moer. p. 321.
[14]) Hesychius. De hoc argumento copiose egit Aristophanes Byzantius, cf. Nauck. p. 92.

παιδέρως· (οἱ μὲν) σφραγῖδος ὄνομα, οἱ δὲ ἀλείμματος.[1]).

παιδεύειν· παιδοτροφεῖν[2]).

παιδιὰν καὶ παίγνιον ἑκατέρως λέγουσιν.

παιδικά· ἐπὶ θηλειῶν καὶ ἀρρένων ἐρωμένων τάττεται ἡ λέξις· παραδείγματα δὲ τοῦ ἐπὶ μὲν τῶν ἀρρένων τάττεσθαι πολλά· καὶ ἐν τοῖς Ἀχιλλέως δ' ἐρασαῖς δῆλον ὡς οὕτω ἐξείληπται· ἐπιδόντων γάρ τι τῶν Σατύρων εἰς τὴν γυναικείαν ἐπιθυμίαν, φησὶν ὁ Φοίνιξ· Παπαῖ τὰ παίδιχ' ὡς ὁρᾷς ἀπώλεσας. καὶ Κρατῖνος Πανόπταις· Μισεῖς γὰρ τὰς γυναῖκας, πρὸς παιδικὰ δὲ τρέπῃ νῦν. Ὅτι δὲ ἐκάλουν οὕτως καὶ τὰ πρὸς τὰς γυναῖκας Εὔπολις· Φησὶ γὰρ [ὡς] πρὸς αὐλητρίδα τις· Ἐγὼ δὲ χαίρω πρός γε τοῖς σοῖς παιδικοῖς· καὶ Κρατῖνος δὲ Ὥραις τῆς παλλακῆς ἀποδημοῦντος τοῦ Διονύσου ἐρώσης, φησὶν ἐπ' αὐτοῦ· μακάριος τῶν παιδικῶν. Οὐχὶ δὲ μόνον οἱ ἐρώμενοι καλοῦνται τῷ ὀνόματι, ἀλλὰ καὶ πάντες οἱ σπουδαζόμενοι πάνυ· κατὰ μεταφορὰν τὴν ἀπ' ἐκείνων· Πλάτων Φαίδρῳ· ἐσπούδακας ὦ Φαῖδρε ὅτι σου τῶν παιδικῶν ἐλαβόμην ἐρεσχελήσων σε· λέγεται δὲ παιδικὸν καὶ τὸ παιδαριῶδες οἷον τὸ ἁρμόζον παιδί· ἡ δὲ λέξις ὡς ἐπὶ τὸ πολὺ ἐπὶ τῶν ἀσελγῶς ἐρωμένων[3]).

παιδεύειν· παιδοτροφεῖν[4]).

παιδικώτερον· ἱλαρώτερον.

παιδισκάριον· κοράσιον δὲ οὐ λέγεται, ἀλλὰ καὶ κεκωμῴδηκε Φιλιππίδης ὡς ξενικόν[5]).

παιδείαν· παιδικὴν ἡλικίαν[6]).

---

[1]) Locnm supplevi ex Hesych.

[2]) Hesychius.

[3]) Glossam Platonicam esse apparet coll. Schol. Plat. Parm. 127 B. Boethus sua habet e Pamphilo, cf. Schol. Aristoph. Vesp. 1021 nbi itidem in eodem argumento laudatur Sophoclis locus quem tamen non prorsus intelligo. De priore Cratini loco quid viri docti sentiant vide apud Meinek. Fragmt. Com. Poet. II. p. 105. Apud Plat. Phaedr. 236 B legitur ἐπελαβόμην et ἐρεσχηλῶν. Cf. Cobet. Mnem. IX. 429. Proleg. p. 66 et 86.

[4]) Supra iam habuimus.

[5]) Cf. Hesych. De nostro loco vide Meinek. Fragmt. Com. IV. 477. Phryn. Ecl. p. 24 et 102. Adde Cobet. Philostr. p. 70.

[6]) Malim certe παιδίαν.

παιδιά· παῖγμα.
παιδοκόμον· παῖδα τρέφοντα.
παιδολέτειρα· παιδοφόνον[1]).
παιδοτρίβας· ἀλείπτας, γυμναστάς[2]).
παιδοῦσσα· ἐγκύμων[3]).
παίει· τύπτει[4]).
παίειν· ἐσθίειν[5]).
παιπάλη· ἄλευρον, ἀπὸ κριθῶν ἢ ἀπὸ κέγχρου[6]).
παιπάλημα· τὸν πανοῦργον καὶ ποικίλον ἐν κακίᾳ καὶ παμπόνηρον σὺν ἀγχινοίᾳ[7]).
παιπάλημα· οἱ μὲν ὁ τραχὺς καὶ ἀνώμαλος ἄνθρωπος· καὶ γὰρ Ὅμηρος τὰς ἀνωμαλίας τῶν ὀρῶν παιπάλημα λέγει· οἱ δὲ τὸν εὐρίπιστον καὶ εὐμετάβολον, ἀπὸ τοῦ λεπτοτάτου ἀλεύρου[8]).
παῖσαι· τύψαι[9]).
παισθείς· τυπτηθείς[10]).
πεττείαις· παιδιαῖς, τάβλαις[11]).
παιῶνας· ἰατροὺς καὶ ἀλαλαγμούς· καὶ παιωνίζειν· τὸ ἀλαλάζειν.
παιώνιον· ἰατρεῖον, θεραπευτήριον· ἢ σωτήριον φάρμακον[12]).
πακτῶσαι· σφηνῶσαι θύραν[13]).
παλαιόν· οἱ ῥήτορες ἐχρήσαντο τῷ παλαιὸν ἐπ' ἀργυρίου ἐκ δα-

---

1) Scribendum est παιδολέτειραν, ob Eur. Med. 849. Cf. Hes.
2) Convenit Schol. Plat. Lysid. 207 D.
3) Codex παιδοῦσα. Callimachus dixit. Cf. Cobet. Mnemos. X. 416.
4) Plura Hesychius.
5) Aristoph. Acharn. 835. Cf. Hesychium.
6) Arist. Nub. 262. Photius habere videtur ex Aelio Dionysio, cf. Eustath. p. 898. 7.
7) Brevius Hesychius.
8) Brevius Lex. rhet. Bekk. p. 295. 18 fortasse ad explicandum Aesch. F. L. § 40. Homerus non παιπάλημα dixit, quod mirabundus audies fuisse qui frustra apud eum »quaereret", sed παιπαλοέσσας, cf. Schol. Odyss. κ. 97.
9) Hesych. Usurparunt Arist. Plut. 1055, alii.
10) Aesch. Sept. 961.
11) Cf. Hesychium.
12) Codex παιωνεῖον. Cf. Cratet. apud Athen. VI. 268 A et Aesch. Agam. 848: φαρμάκων παιωνίων.
13) Fortasse ex Archilocho, cf. Poll. X. 27.

νείσματος ὀφειλομένου· οὕτως Λυσίας ἐν τῷ πρὸς Ἀλκίβιον· καίτοι εἰ ἀποδεδώκει τῷ Κτησικλεῖ τὰς ν' παλαιάς, ὥσπερ οὗτός φησι [1]).

πάλαι· τὸ ἤδη λέγειν εἰώθασιν.

πάλαι καὶ τρίπαλαι καὶ δεκάπαλαι λέγουσιν [2]).

παλαιοθέτης· παλαιοπράγμων καὶ δραστήριος [3]).

πάλαι θεοῦ· παλαιᾶς θεοῦ [4]).

παλαιότερον· καὶ ἄνευ τοῦ ο λέγουσι· καὶ τὸ ὑπερθετικὸν παλαίτατον [5]).

παλαιστάς· σπιθαμάς, ἢ ἔμπαλιν [6]).

παλαμᾶσθαι· τεχνάζεσθαι [7]).

παλαμίς· τεχνίτης [8]).

παλαμναῖος· φονεὺς ἢ μιαρός· παλαμναῖοι γὰρ λέγονται οἱ διὰ χειρὸς ἀνδροφονοῦντες· παρὰ τὴν παλάμην· καὶ Ζεὺς παλαμναῖος, ὁ τοὺς τοιούτους τιμωρούμενος· καὶ προστροπαῖος ὁ προστρέπων τὸ ἄγος αὐτοῖς [9]).

παλαμωμένων· χερσὶν ἐργαζομένων.

παλάσια· τὰ συγκεκομμένα σῦκα· παλάθην λέγουσι καὶ παλαθίδα· εἰσὶ δὲ ἐξ ἰσχάδων ἢ σύκων κεκομμένοι βῶλοι πλινθοειδεῖς [10]).

παλαστή· θηλυκῶς· Κρατῖνος Νόμοις· μεῖζον τὸ δέος παλαιστῆς· Φιλήμων Ἐφεδρίταις· Σκιμπόδιον ἓν καὶ κώδιον καὶ ψιαθίον Ἴσως παλαιστῆς [11]).

---

[1]) Fortasse rectius scribetur Ἀλκιβιάδην.

[2]) Ex Arist. Eq. 1154.

[3]) Hesychius.

[4]) Codex παλαιθέου et sic quoque Hes. Sed cf. HSt. VI. 63 D.

[5]) Codex παλαίτερον.

[6]) Lex. Bachm. ἢ ἐν πάλῃ. Neutrum intelligo.

[7]) Cf. Hesych. παλαμήσασθαι.

[8]) Hesych. add. παρὰ τοῖς Παλαμνίοις quod Meinekius scribit παρὰ τοῖς Σαλαμινίοις, cf. M. Schmidt.

[9]) Alia Harp. Hesych. et Lex. rhet. Bekk. p. 293. 12.

[10]) Cf. Hesych. Adde HSt. VI. 62 A.

[11]) Ruhnkenius recte pro δέος scribit πέος. Phrynichus Ecl. p. 130 unice probat formam παλαστή, non παλαιστή. Cf. HSt. VI. 70. C. Crediderim veram formam esse παλαστή, nam video tum aequales Phrynichi nominis formam docendos fuisse, tum librarios ubique inferre παλαιστή. Hinc Photii ipsa glossa παλαστή est, quae forma literarum ordine commendatur, sed

παλεύετε· θηρεύετε· καὶ τὰς περιϛερὰς τὰς θηρευούσας παλευτρίας καλοῦσιν [1]).

παλευταί· (οἱ) τὰ λίνα (ἱϛῶντες) οἷς τὰ θηρία ἁλίσκεται· ὡς καὶ παλευτρίδες· αἱ περιϛεραί [2]).

παλεῦσαι· ἐξαπατῆσαι, ὑπαγαγέσθαι· καὶ παλεύτρια· περιϛερὰ πλάνος [3]).

παλεῦσαι· ὑπαγαγέσθαι· ἀπὸ τῆς πάλης ἢ τοῦ παλαίειν· οὕτως δ' ἔλεγον τὸν εὐεξαπάτητον.

παλημάτιον· λεπτὸν ἄλευρον [4]).

παλιλλογία· ταυτολογία [5]).

παλιμβαλής· ὁ ἀνάταυρα πεσών.

παλίμβιος· ὡς ἐξ ἀναβιώσεως [6]).

παλιμβολία· ἡ εὐμετάβλητος γνώμη.

παλίμβολος· ἀδόκιμος, εὐμετάβολος, ἀνελεύθερος· Κλήμης· δύναται δὲ καὶ ἀντὶ τοῦ παλίμβουλος, ἐναντιόβουλος, ἐναντιογνώμων· ὡς καὶ παλίνδης ὄνος [7]).

παλίμφημα· δύσφημα, κακά, ἐναντία [8]).

παλινάγγελος· ὀπίσω ἐπανελθὼν ἄγγελος [9]).

παλιναίρετα· ἐπεσκευασμένα καὶ οἷον ἐπίγναφα, οὐ καινὰ οὐδὲ ὑγιῆ [10]).

παλινδικεῖ· ἐπισυνάπτει δίκην [11]).

---

in versiculis Cratini et Philemonis perperam legitur παλαιϛή. Codex pr. m. σκηπόδιον.

[1]) Hesych. interpr. παλεύεται.

[2]) Codex παλευτά et om. οἱ et ἱϛῶντες. Locus correctus ex Hesych. Cf. HSt. VI. 77 D.

[3]) Cf. Hesych. v. παλεύσας.

[4]) Hesych. Pollux VI. 62 ex Aristophane laudat.

[5]) Hesychius.

[6]) Hinc emendatus Hesych.

[7]) Adnotatio est Boethi referenda ad Plat. Legg. IV. 705 A. Ex eodem sua descripsit Hesychius. Scripsi παλίμβουλος altero loco pro Codicis lectione παλίμβολος. Ultima vocabula non intelligo. Suidas habet: παλίνδης ὄνομα.

[8]) Rectius fortasse Hesych. pro κακά habet κακόφημα.

[9]) Cf Hesychium.

[10]) Glossa Platonica referenda ad Tim. 82 E. De Timaei glossa e Photio emendanda dixi in Prolegg. p. 114. Cf. Hes. Harp.

[11]) Hesychius.

παλινδορία· σκύτος [1]).
παλινδρομῶν· ὑποςρέφων [2]).
παλιγκάπηλος· ὁ μεταπράτης [3]).
παλιγκάπηλος· ὁ τὸ αὐτὸ ἀγοράζων καὶ πωλῶν· λέγουσι δὲ καὶ παλινέμπορος [4]).
πάλιν· καὶ αὖθις· καὶ αὖτις· ταῦτα τὰ τρία ταὐτὸν σημαίνει, ὥςε καὶ ἐκ παραλλήλου χρῶνται ἀμφοῖν, αὖτις πάλιν, πάλιν αὖτις λέγοντες [5]).
παλινοδία· ἐναντία ὁδός [6]).
παλινοςήσας· ἐπανελθών [7]).
παλινσκίῳ· σκοτεινῷ· τὸ γὰρ πάλιν ἐπίτασιν δηλοῖ ὡς παλιγκάπηλος καὶ παλίμπρατος [8]).
παλιντράπελον· ἀντίςροφον, ἐναντίον, ἀντεςραμμένον [9]).
παλινῳδία· ἐναντία ᾠδή ἢ τὸ τὰ ἐναντία εἰπεῖν τοῖς προτέροις [10]).
παλίρρυτα κύμβαλα· [11]).
παλίνσκιον· τὸ ὑπ' ἄλλου σκιαζόμενον [12]).
παλιώρους· ἀκοντιςάς [13]).
Παλλάδος πρόσωπον· τοὺς ςατῆρας, ἀπὸ τοῦ σεσημασμένου· ἐκ θατέρου γὰρ Ἀθηνᾶς πρόσωπον ἦν [14]).
παλλακόν· τὸν παλλακευόμενον [15]).

---

[1]) Addit Hesychius Platonis Comici testimonium.
[2]) Hesychius παλινδρομεῖ.
[3]) Vide quae diximus ad v. κάπηλος.
[4]) Hesych. Respicitur fortasse Arist. Plut. 1156.
[5]) Rectius scribes: καὶ αὖ· καὶ αὖθις.
[6]) Infra παλινῳδία. Notatur discrimen, nihil aliud. Sic supra habuimus μεθόδιον et μετῴδιον. Cf. Prolegom. p. 127.
[7]) Hesychius.
[8]) Harpocration e Sophoclis Inacho laudat χειμῶνι σὺν παλινσκίῳ, ubi fere praetulerim λειμῶνι.
[9]) Cf. Pindar. Olymp. II. 69.
[10]) Lex. Bachm. add. οἷα Στησίχορος ἐπὶ τῆς Τρωϊκῆς Ἑλένης.
[11]) Codex παλίνρυτα.
[12]) Convenit Lex. rhet. Bekk. p. 294. 6.
[13]) Hesych. παλινώρους· ἄκοντας. Res obscura.
[14]) Vide Hesych. et Poll. IX. 76.
[15]) Hes. παλλακός· ἐρρωμένος, ubi Musurus scribit ἐρώμενος. Fortasse praestat apud Photium παλλάκιον scribere ob Aelii Dionysii adnotationem apud Eustath. p. 1419. 51.

παλμός· τρόμος, σεισμός[1]).
παλτά· τὰ δόρατα[2]).
πολτάριον· σεμίδαλις[3]).
παμμάχιον· παγκράτιον[4]).
παμμήσορα· πάντων τεχνίτην[5]).
παμπήδην· παντελῶς[6]).
παμπησία· παγκτησία[7]).
παμπληθεῖς· πάνυ πολλάς[8]).
Παμύλης· Αἰγύπτιος θεὸς Πριαπώδης[9]).
παμφαής· ἡ πᾶσι φαίνουσα, φαιδροτάτη[10]).
πάμφορος· παντοῖα φέρων[11]).
παναγές· καθαρόν· ἄγος γὰρ καὶ ἁγνεία καὶ μύσος κατ' ἀντίφρασιν[12]).
παναγής· ὁ κατὰ πάντα ἁγνός[13]).
Παναθήναια· Ἀθήνησιν ἑορτὴ ἐπὶ τῷ ὑπὸ Θησέως γενομένῳ συνοικισμῷ, πρὸ τοῦ Ἐριχθονίου τοῦ Ἡφαίςου καὶ Γῆς· Ἀθηναίων· ὕςερον δὲ ὑπὸ Θησέως· πεντέτης· καὶ ἀγωνίζεται παῖς, Ἰσθμικοῦ πρεσβύτερος· καὶ ἀγενείου· ἀνήρ· τὸ δὲ νικῶντι δίδοται ἆθλον ἔλαιον ἀμφιφορεῦσι· καὶ ὁ νικῶν ςεφανοῦται ἐλαίᾳ πλεκτῇ[14]).

---

[1]) Hesychius.
[2]) Hesychius.
[3]) Codex παλτάρια· correxit Cobet.
[4]) Cf. Dind. ad HSt. VI. 112 A.
[5]) Hesychius.
[6]) Hesychius. Schol. Soph. Ai. 916.
[7]) Hesychius. Idem Eustath. p. 1502. 48 sec. veteres.
[8]) Plat. Legg. VI. 782 B.
[9]) Codex Παμύλης. Corr. Cobet. Addit Hesych. testimonium Cratini minoris Γίγασιν.
[10]) Codex φαιδρότης· scripsi φαιδροτάτη. Cf. Hesychium.
[11]) Hesychius παμφόρῳ.
[12]) Codex ἄγος.
[13]) Cf. M. Schmidt. ad Hesychium.
[14]) Repraesentavi corruptam Codicis lectionem. Est glossa Platonica quae non multum emendatius legitur apud Schol. Parm. 127 A: ἡ τῶν Παναθηναίων ἑορτὴ καὶ ὁ ἀγὼν ἐτέθη μὲν πρῶτον ὑπ' Ἐριχθονίου τοῦ Ἡφαίςου καὶ τῆς Ἀθηνᾶς, ὕςερον δὲ ὑπὸ Θησέως συναγαγόντος τοὺς δήμους εἰς ἄςυ· ἄγεται δὲ ὁ

Παναθήναια· ἀγὼν πεντετηρικὸς Ἀθήνησιν [1]).
πανάκεια· θεραπεία [2]).
παναλκές· ἰσχυρότατον [3]).
πανάμερον· δι᾽ ὅλης τῆς ἡμέρας [4]).
πανάνυτον· παντοδύναμον.
πανάπυστος· ἀνήκοος.
παναρμόνιον· παντόθεν ἡρμοσμένον [5]).
παναυγές· πάνυ λαμπρόν.
πανδαισίας· πολυτελοῦς τραπέζης, εὐωχίας [6]).
πανδαισία· πολυτελὴς τράπεζα [7]).
Πάνδια· ἑορτή τις ἀπὸ Πανδίας τῆς Σελήνης· ἢ ἀπὸ Πανδίονος οὗ ἐστὶ καὶ Φυλὴ ἐπώνυμος· ἄγεται δὲ αὕτη τῷ Διί, ἐπονομασθεῖσα ἴσως οὕτως ἀπὸ τοῦ πάντα δεῖν θύειν τῷ Διί [8]).
πανδείνως· εὐφήμως· λέγεται δὲ ὡς παναθλίως.
πανδερκεῖς· πάντα δρῶντες [9]).
πανδήμου· παντὸς τοῦ πλήθους ἢ παντὸς τοῦ δημώδους καὶ ἀγελαίου ὄχλου [10]).
πανδοκεῖον· καταγώγιον· τὸ διδόμενον μισθοῦ στεγανόμιον· λέγεται καὶ διὰ τοῦ χῖ διὰ τὴν τῶν στοιχείων συγγένειαν [11]).
πανδωρία· ἡ γῆ [12]).
Πανιὰς αἶσα· ἀπὸ τοῦ Πανός [13]).

ἀγὼν διὰ πέντε ἐτῶν· καὶ ἀγωνίζεται παῖς Ἴσθμια οὐ πρεσβύτερος καὶ ἀγένειος καὶ ἀνήρ· τῷ δὲ νικῶντι διδόασιν ἔλαιον ἐν ἀμφιφορεῦσι καὶ στεφανοῦσιν αὐτὸν ἐλαίᾳ πλεκτῇ. Cf. Proleg. p. 60.

[1]) Cf. Harpocr.
[2]) Hesychius.
[3]) Cf. Hesychium.
[4]) Hesychius πανάμερος.
[5]) Hesychius. Fortasse e Plat. Rep. III. 404 D.
[6]) Cf. Hesychium et Harpocr.
[7]) Codex πανδαίσιον.
[8]) Similiter Lex. rhet. Bekk. p. 292. 10. Cf. Harpocr.
[9]) Hesychius.
[10]) Hesychius. Fortasse e Soph. Ai. 844.
[11]) Cf. infra v. στεγανόμιον. Codex στεγανομεῖον.
[12]) Ex Hesych. corrige πανδώρα. Cf. Aristoph. Av. 971.
[13]) Aeschyli glossa est apud Hesych. Πανίας βήσσας, quam hic quoque reposuerim. Cf. M. Schmidt.

παγκαρπία· πανσπερμία [1]).

πανόν· ἀπὸ τοῦ πάντα φαίνειν σχηματισθέν, κατὰ μεταβολὴν τοῦ φ· Σοφοκλῆς Ἑλένης γάμῳ [2]).

πανόπτης Ζεύς· πολυόφθαλμος· καὶ πανόπτρια [3]).

Πανὸς σκῶλος· ὄνομα σχήματος [4]).

πανός· δέσμη κληματίδων· οἱ δὲ νεώτεροι Ἀττικοὶ φανόν· Ἀριστοφάνης [5]).

Πανὸς σκοπός· μανιώδης, ἐπεὶ τῶν φαντασιῶν αἴτιος ὁ Πάν· παρὰ τὸ φαίνειν λελεγμένος [6]).

πανοσπρία· ἡ ἐκ τῶν ὀσπρίων μῖξις [7]).

Πάνοψ· ἥρως Ἀττικός· καὶ ἐν τοῖς ἐπωνύμοις [8]).

πανοῦργος· ὁ πάντα ἐν πονηρίᾳ ἐργαζόμενος· λέγεται δὲ καὶ ὁ πάνυ φρόνιμος καὶ ὁ πάντα ἐπιστάμενος [9]).

πανσέληνον λεκτέον οὐ πληροσέληνον.

πανσθενέστατον· ἰσχυρότατον [10]).

πανσπερμία· παγκαρπία [11]).

πανστρατιᾷ· οὕτως λέγει καὶ Θουκυδίδης καὶ οἱ ἄλλοι [12]).

πάντα θεῖ κάλαύνεται· παροιμία ἐπὶ τῶν εὐπόρων [13]).

---

1) Hesychius. Legitur apud Soph. fragmt. 464, alibi.

2) Codex σχηματισθέντα.

3) Sic Porsonus. Codex γάμῳ· ζευς: ‑ Πανόπτης· π. κ. π. Sed malim cum Dind. ad HSt. VI. 157 C scribere Πανόπτης· Ζεύς: ‑ Πανόπτης· πολυόφθαλμος· καὶ πανόπτρια: ‑

4) Cf. Hesychium ibiq. M. Schmidt.

5) Intelligitur fortasse Arist. Lysistr. 308 ubi nunc φανόν.

6) Fortasse ex Eupolide, cf. Phot. v. σκοπός. Apud Hesych. omnia turbata. Ultima verba παρὰ τὸ φ. λ. superiori glossae reddiderim. Dobraei est longa adnotatio de hac glossa in Adversariis.

7) Hesychius. Pollux I. 248.

8) E Platon. Lysid. init. M. Schmidt. ad Hesych. coniicit ἐν τοῖς ρ' ἐπ.

9) In bonam partem accipiunt paullo minus antiqui.

10) Hesychius πανσθενεστάτῳ.

11) Fortasse e Plat. Tim. 73 C.

12) Codex πανστρατεία. Intelligitur Thuc. II. 31.

13) Plenius Schol. Arist. Eccl. 109: ὅκ' ἀργύριον ᾖ πάντα θεῖ κάλαύνεται. ubi corrigam: οἷς ἀργ.

πάντα κάλων σείειν· παροιμία ἐπὶ τῶν πάσῃ προθυμίᾳ χρωμένων· παρῆκται δὲ ἀπὸ τῶν τὰ ἄρμενα χαλώντων [1]).

πάντα κάλων· ἐπὶ τῶν μετὰ πάσης προθυμίας πραττόντων.

πάντα λίθον κινεῖν· Πολυκράτει τῷ Θηβαίῳ χρησμὸς ἐξέπεσεν πριαμένῳ τόπον ἔνθα Μαρδόνιος ἐσκήνωσεν, ὅτε Πέρσαι ἔφυγον, εὑρεῖν χρυσόν· οἱ δὲ εἰρῆσθαί φασιν ἀπὸ τῶν τοὺς καρκίνους θηρευόντων [2]).

πάντα ὀκτώ· οἱ μὲν Στησίχορόν φασιν ἐν Κατάνῃ ταφῆναι πολυτελῶς πρὸς ταῖς ἀπ' αὐτοῦ Στησιχορείοις πύλαις λεγομέναις· καὶ τοῦ μνημείου ἔχοντος ὀκτὼ κίονας καὶ ὀκτὼ βαθμοὺς καὶ ὀκτὼ γωνίας· οἱ δὲ ὅτι Ἀλήτης κατὰ χρησμὸν τοὺς Κορινθίους συνοικίζων ὀκτὼ φύλας ἐποίησεν πολίτας καὶ ὀκταμερῆ τὴν πόλιν [3]).

παντάπασιν· ἀντὶ τοῦ παντελῶς καὶ ὁλοσχερῶς, σφόδρα [4]).

πανταχῇ· πάντα τρόπον· καὶ πανταχοῦ· ἐν παντὶ τόπῳ· καὶ πανταχόθι· πανταχοῖ δὲ καὶ πανταχόσε· εἰς πάντα τόπον [5]).

παντέλειον· ὁλόκληρον.

παντευχίαν· πανοπλίαν [6]).

παντὶ σθένει· ὅλῃ δυνάμει [7]).

παντί τῳ· παντί τινι [8]).

παντοδαπά· παντοῖα [9]).

παντοδαπώτερον· συγκρίνοντες λέγουσιν.

παντὸς μᾶλλον· ἀντὶ τοῦ πάντως.

πάνυ· λίαν.

πάνυ σφόδρα· ἀνάπαλιν δ' οὐ λέγουσι σφόδρα πάνυ [10]).

---

[1]) Hesych. Vide Intt. ad Zenob. 462. Similiter Schol. Plat. Sisyph. 389 C.

[2]) Hesychius similia; sed malim legere ἧς μέμνηται Ἀριστοφάνης quam Ἀρίσαρχος. Vide praetcrea Intt. ad Zenob. 463.

[3]) Cf. Polluc. IX. 100. Alia et deteriora Zenob. 478.

[4]) Hesychius.

[5]) Pro καὶ πανταχόθι legerim: καὶ πανταχόθεν· ἐκ παντὸς τόπου.

[6]) Hesychius. Haud raro tragici.

[7]) Hesychius.

[8]) Hesychius.

[9]) Cf. Hesychium.

[10]) Non assentior, cf. Aesch. F. L. § 36, qui locus laudatur ab HSt. VI. 179 C.

παμφάλυγα· τὸν πομφόλυγα· Σώφρων [1]).
πανώλης· πανώλεθρος [2]).
Πάξοι· νῆσοι κατ' Ἰταλίαν [3]).
παππάζοιεν· πατέρα καλοῖεν [4]).
πάππας· τοὺς πατέρας καλοῦσιν [5]).
πάππος· αἱ ἐπὶ τοῦ κάτω χείλους τρίχες, μύςαξ δὲ αἱ ἐπὶ τοῦ ἄνω [6]).
πάπποι· αἱ τῶν ἀκανθῶν ἐξανθήσεις [7]).
παρά· διά.
παραβαλέσθαι· τὸ παύσασθαι καὶ ἀπαλλαγῆναι· ἡ δὲ μεταφορὰ ἀπὸ τῶν ἐρεσσόντων.
παραβάλλεσθαι· τὸ ἐξαπατῆσαι· Θουκυδίδης α'· οὕτως καὶ Ὅμηρος· παραβλήδην ἀγορεύων [8]).
παραβαλοῦ· παύου· κυρίως δὲ παραβάλλειν λέγεται τὸ παῦσαι τὴν κώπην τῆς εἰρεσίας [9]).
παραβάλλεσθαι· παρακαθῆσθαι, συνθέσθαι [10]).
παραβεβάσθαι τὰς σπονδάς· τὸ παθητικὸν τοῦ παραβεβηκέναι, πάνυ ἀκολούθως· Θουκυδίδης [11]).
παραβιβάζεσθαι· παραβαίνεσθαι.
παραβλέπειν· ὑποβλέπειν.
παραβληθησόμενος· συγκριθησόμενος, ὁμοιωθησόμενος [12]).
παράβολος· [13]).

---

1) Codex παμφάλυα.
2) Hesychius.
3) Hesychius.
4) Codex παπάζοιεν· παρακαλοῖεν. Bene Hesychius.
5) Codex πάπας. Haec et superior observatio e lexico rhetorico quod Eustath. laudat p. 565. 19.
6) Eadem laudat Eustath. p. 1496. 51 e rhetorico lexico, sed diserte memorat scripturam μάςαξ. Cf. p. 1353. 57.
7) Cf. Hesychium. Eustath. p. 565. 34.
8) Thucyd. I. 133. Hom. Iliad. δ. 6.
9) Cf. Hesychium. Ex Aristoph. Ran. 180, ut videtur.
10) Legerim παρακαταθέσθαι pro παρακαθῆσθαι.
11) Thucyd. I. 123.
12) Hesychius.
13) Interpretationem vide apud Phrynich. Bekk. p. 60. 16. In Codice semiversus vacuus.

παραβύουσα· παρακαλύπτουσα [1]).
παράβυςον· παρακεκρυμμένον, λάθρᾳ γινόμενον [2]).
παραγγείλας· [3]).
παραγκωνίσας· ἀποςρέψας, ἐκ τῶν ἀγκώνων δήσας [4]).
παραγνούς· παρανοήσας.
παραγραφή· δίκη λεγομένη ὑπὲρ τοῦ μὴ εἰσαγώγιμον εἶναι τὴν δίκην, μηδὲ ἀγωνίσασθαι τὴν εὐθυδικίαν· παρεγράφοντο δὲ διὰ τρόπων δ'· διὰ προσώπων, διὰ χρόνων, διὰ τόπων, διὰ τρόπων [5]).
παραγράφεται· ἐξουθενεῖ, παραιτεῖται, ἀποβάλλεται [6]).
παραγραφή· ὅταν λέγῃ τις ὅτι τὸ πρᾶγμα περὶ οὗ τὸ ἔγκλημά ἐςιν, εἰσήχθη πρότερον εἰς δικαςήριον καὶ γένηται περὶ αὐτοῦ γνῶσις· καὶ διὰ τοῦτό φησι μὴ δεῖν ἔτι περὶ αὐτοῦ συνίςασθαι κρίσιν· μάλιςα δὲ τοὺς νόμους ἀναγινώσκει τοῖς δικαςαῖς, οἳ πλεονάκις περὶ τῶν αὐτῶν οὐ συγχωροῦσιν· λέγει δὲ περὶ αὐτοῦ τοῦ πράγματος, ἅμα τοῖς δικαςαῖς παραδεικνύς, ὡς οἱ πάλαι δικάσαντες καὶ δικαίως καὶ κατὰ τοὺς νόμους ψηφίσαντες· καὶ τοῦτό ἐςι παραγραφή· καὶ ἐπ' ἐκείνῃ τῇ δίκῃ περὶ ἧς οὐδὲν ὥριςαι παρὰ τοῖς νόμοις, οὐδὲ ἔνεσιν αὐτὴν ὁ εἰσάξων, ὥσπερ καὶ τὰς ἄλλας δίκας· τῶν γὰρ ἄλλων δικῶν προστέτακται ἑκάςῳ τῶν ἐν ταῖς ἀρχαῖς εἰσάγειν τινά· παραγράφεσθαι οὖν ἐφεῖται καὶ τοῖς τοσοῦτόν τι ἐγκαλουμένοις, περὶ οὗ οὐ νενομοθέτηται [7]).
παράδειγμα· εἰκὼν ἢ χαρακτὴρ ἔννοιαν ἔχων αἰσθητοῦ πράγματος· ἰςέον δὲ ὅτι ἄλλο παράδειγμα καὶ ἄλλο παραβολή· παράδειγμα μὲν γάρ ἐςιν ὅταν ἀντιπαραθῇ τις ὅμοιον ὁμοίῳ, οἷον λογικῷ λογικόν· παραβολὴ δὲ ὅταν ἀνόμοιον ἀνομοίῳ οἷον ἀλόγῳ λογικόν ἢ ἔμπαλιν.
παράδειξις· ὁμοιότης, δήλωσις.
παραδιαιτᾶσθαι· τὸ παρ' ἑτέρῳ τινὶ τρέφεσθαι.

---

1) Cf. Hesychium ibiq. Ruhnkenium.
2) Cf. Hesych. Harpocr. et Lex. rhet. Bekk. p. 292. 24.
3) In Codice semiversus vacuus.
4) Hesychius παραγκωνίσασθαι.
5) Brevius Lex. rhet. Bekk. p. 297. 17. Cf. Harp. et infra.
6) Hesychius tantum ἐκβάλλεται.
7) Malim ψηφίσαιντο et τοιοῦτόν τι.

παρὰ δίκην· παρὰ τὸ δίκαιον [1]).

παράδοξον· ἀπροσδόκητον, θαυμαστόν [2]).

παραθέουσι· παρατρέχουσιν [3]).

παραθήγειν· ἀκονᾶν, παροξύνειν [4]).

παραθήκην· Πλάτων Συμμαχίᾳ [5]).

παραιρημάτων· τῶν ἱματίων. Θουκυδίδης [6]).

παρασαβάζειν· παραμαίνεσθαι· ἀπὸ τοῦ σαβοῦ· τοὺς γὰρ παρὰ τῷ Σαβαζίῳ βακχεύοντας καλοῦσι σαβοὺς καὶ τὸ βακχεύειν σαβάζειν [7]).

παραθήξονται· παρακονήσονται.

παραθρήσειας· παρίδοις [8]).

παρεξόρουσον· Ἀριστοφάνης Ταγηνισταῖς· ἀπέδωκαν δὲ οἱ μὲν παιδιᾶς εἶδός τι· Εὐφρόνιος δὲ παροιμιωδῶς λέγεσθαι ἐπὶ τῶν παρακελευομένων ταχέως ἥκειν ἢ ἀπαλλάττεσθαι [9]).

παραιρήσεται· ἀφαιρήσεται.

παραιροῦνται· ἀφαιροῦνται [10]).

παρ' ἀκαρῆ· ὀλίγου [11]).

παραιτεῖσθαι· παρακαλεῖν, συγγνώμην αἰτεῖν [12]).

παραιτητής· παρακλήτωρ, ἀπολογούμενος.

παρακαταθήκη· ἐνέχυρον [13]).

παρακατάστασις· ἀργυρίδιον ἣν μία δραχμὴ ὑπὸ τῶν ἰδίας δικαζομένων δίκας τοῖς διαιτηταῖς καταβαλλόμενον· ἔτι δὲ καὶ παρὰ

---

1) Hesychius.

2) Hesychius. Corrige Lex. rhet. Bekk. p. 289. 2.

3) Hesychius.

4) Hesychius.

5) Vide an παρακαταθήκη verum sit ob Phryn. Ecl. 138.

6) Cf. Hesych. et Antiatt. Bekk. p. 112. Ex Thuc. IV. 48.

7) Hesych. παραισαβάζειν et haec quoque scriptura in Photii codice.

8) Codex παρίδης. Conferenda est Hesych. glossa: παραθροξίας· περιδραμείας, quae nunc editur παραθρέξειας· παραδράμοις.

9) Codex παραιξορουσον, de quo monstro vide Dobraeum, Dindorfium, Meinekium, Cobetum.

10) Hesychius.

11) Codex παρακαρής. Corr. Bernhardyus. Plat. Axioch. 366 C.

12) Idem Lex. rhet. Bekk. p. 289. 21.

13) Hesychius.

τῶν ὑπομνυμένων αὐτάς· κατεβάλλετο δὲ καὶ τοῖς θεσμοθέταις ἐπί τισι γραφαῖς [1]).
παρακεκομμένος· ἐξεστηκώς, παράφρων, μαινόμενος [2]).
παρακελεύεται· προτρέπεται, διεγείρει [3]).
παρακελευστοί· οἱ ἐκ παρακελεύσεως καὶ παρακλήσεως συλλαμβάνοντες καὶ οὐ στασιάζοντες [4]).
παρακελευστοί· οἱ σπουδασταί· ὁ γὰρ σπουδαστὴς τὸν αὐστηρὸν καὶ σπουδαῖον οἰκεῖον δηλοῖ [5]).
παρακινοῦντα· ἐξιστάμενα.
παράκλητος ὡς ἡμεῖς εἴρηκεν Λυκοῦργος.
παρακοᾶν· παρανοεῖν καὶ παραφρονεῖν· κοᾶν γὰρ καὶ κονᾶν τὸ φρονεῖν [6]).
παρακονᾶν· τὸ ἐν τῷ φιλεῖν διατρίβειν [7]).
παρὰ κωφὸν ἀποπαρδεῖν· παροιμία, ἐπὶ ἀναισθήτων [8]).
παρακροτοῦντες· παραθαρσύνοντες, παρορμῶντες.
παρακεχόρδικεν· οἷον παρημάρτηκεν λέγουσιν Ἀττικοί, καὶ παράχορδον [9]).
παρακρούεσθαι· ἐξαπατῆσαι· ἤτοι ἀπὸ μεταφορᾶς τῶν οὐ βίᾳ ἀλλ' ἐξ ἐνέδρας παρακρουόντων χειρὶ ἢ ποδί [10]).
παρακρουσιχοίνικος· παρακρουόμενος ἐν τῷ μετρεῖν· τὸ γὰρ ἀπατᾶν παρακρούσασθαι ἔλεγον, ὅθεν καὶ κρουσιμετρεῖν καὶ θυροκρουστεῖν [11]).
παραλέγειν· τὰς ὑπερεχούσας ἐν ταῖς ὀφρύσι τρίχας ἐκλέγειν [12]).
πάραλοι· οἵ τε ἐν τῇ νηὶ τῇ παράλῳ πλέοντες καὶ οἱ τὴν παρά-

---

1) Codex ἀργύριον ἐν μιᾷ δραχμῇ, corr. ex Lex. rhet. Bekk. p. 290. 19. Vide quoque Harpocr. v. παράστασις.
2) Hesychius παρακεκομμένον· ἄνανδρον.
3) Sic Plat. Legg. VIII. 837 C.
4) Cf. Thucyd. VI. 13.
5) Non prorsus intelligo et nescio quo referendum sit.
6) Cf. Hesychium. Supra v. μακκοᾶν.
7) Hesychius exp. τὸ ἐν τῷ ἀσπάζεσθαι παρατρίβειν τὸ γένειον καὶ τὰς παρειάς.
8) Codex ἀποπέρδειν. Corr. Cobet. Hesychius. Cf. Intt. ad Diogen. 643.
9) Cf. Hesychium.
10) Cf. Harpocr.
11) Hesychius. Pollux IV. 169.
12) Ex Aristoph. Eccl. 904. Cf. Hesych. et Poll. II. 35.

λιον τῆς Ἀττικῆς κατοικοῦντες, ὥσπερ ἕτεροι πεδιάσιοι καὶ διάκριοι· πάραλος δὲ τριήρης ἱερὰ καλεῖται, ἥτις διηνεκῶς ταῖς ἐπειγούσαις χρείαις ὑπηρετεῖ· ὁπότε δὲ ἐκ τῆς ἀλλοδαπῆς μεταπέμψασθαι στρατηγὸν ἠβούλοντο ὥσπερ Ἀλκιβιάδην ἀπὸ Σικελίας, τῇ παράλῳ ἐχρῶντο· λέγεται δὲ ἡ αὐτὴ καὶ Σαλαμινία· ὕστερον δὲ ἄλλαι δύο προσεγένοντο αὐταῖς Ἀντιγονίς τε καὶ Δημητριάς [1]).

παραλογισμός· ἀπάτη λογισμοῦ [2]).

παραλογιστής· ἀπατεών [3]).

παράλογον· λέγουσιν ἀρσενικῶς οἵ τε ἄλλοι καὶ μάλιστα Θουκυδίδης· τὸ παράδοξον καὶ ὃ οὐκ ἄν τις προσδοκήσειεν· οἷον τοῦ πολέμου τὸν παράλογον· καὶ ὅτι ἐγένετο πολὺς ὁ παράλογος [4]).

παράλογος· τὸ ἀνέλπιστον, τὸ παρὰ προσδοκίαν.

Παράλιον· ἡρῷον Παράλου τινὸς ἥρωος ἀφ' οὗ τάχα καὶ ἡ Πάραλος ναῦς [5]).

πάραλος· ἱερὰ τριήρης ὥσπερ καὶ ἡ Σαλαμινία· ἦσαν δὲ καὶ ἄλλαι τριήρεις δύο Ἀντιγονὶς καὶ Δημητριάς, ἔτι δὲ καὶ Ἀμμωνιάς· ἀλλ' ἡ μὲν πάραλος ἐπέμπετο πρὸς τὰς θεωρίας, εἴς τε Δῆλόν φημι καὶ Ὀλυμπίαν· ἡ δὲ Σαλαμινία πρὸς τὸ μεταπέμπεσθαι τοὺς ἐξ αὐτῆς Ἀττικοὺς ἀδικεῖν δοκοῦντας· ἐπολέμουν δὲ ὅμως καὶ αὗται αἱ τριήρεις [6]).

πάραλος· ναῦς ἱερά, θεωρίς· ἦν δὲ καὶ ἑτέρα Σαλαμινία [7]).

παραλοῦμαι· παροιμιακῶς· εἰώθεσαν γὰρ πρότερον ἐν τοῖς βαλανείοις οἱ πλούσιοι παραλούειν τοὺς πένητας. Ἀριστοφάνης Ἀναγύρῳ· Ἀλλὰ πάντας χρὴ παραλοῦσθαι καὶ τοὺς σπόγγους ἐᾶν· (οἷον) συνεισιέναι τοῖς πλουσίοις ὥστε μηδὲ σπόγγους φέρειν ἀλλὰ τοῖς ἐκείνων χρῆσθαι [8]).

---

1) Fortasse haec pertinent ad Thucyd. VIII. 74. Vide infra et Lex. rhet. p. Phot. p. 675. 28. Codex ἀντιγόνης — δημητρίας et sic mox sed ἀμμωνιάς.

2) Hesychius.

3) Hesychius.

4) Thucyd. I. 78. II. 85.

5) Similiter Lex. rhet. Bekk. p. 294. 1. Pro ἥρωος Codex ἡρῴου.

6) An ἐξ αὐτῆς Ἀττικῆς? Ceterum cf. supra et Harpocr.

7) Similiter Lex. rhet. Bekk. p. 293. 3.

8) Supplevi οἷον. Cf. Polluc. VII. 168 et Hesychium ibiq. M. Schmidt. Rem non satis intelligo.

παράλληλον· ὅμοιον, ἀκόλουθον, ἐγγὺς ἀλλήλων, ἐξ ἴσου [1]).

παραλουργίς· παράβαφος [2]).

παραμείψας· παραλλάξας [3]).

παραμπυκίζεται· παραπλέκεται τὰς τρίχας [4]).

παραμυθῆσαι· συμβουλεῦσαι· καὶ παραμυθήσασθαι, ὡσαύτως [5]).

παραπαίων· ληρῶν [6]).

παραπέτασμα· τὸ προκάλυμμα κυρίως τῶν πορνῶν ὃ προβάλλονται ὑπὲρ τοῦ μὴ ὁρᾶσθαι τοὺς εἰσιόντας· ἔχει δὲ καὶ ἄλλα σημαινόμενα ἡ λέξις [7]).

παράπηγμα· κανόνα· καὶ εἶδός τι ὀργάνου ἀςρονομικοῦ [8])

παραπλαγιάσας· πλαγιασάμενος [9]).

παράπηχυ· ἱμάτιον τὸ παρ' ἑκάτερον μέρος ἔχον πορφύραν· τοῦτο δὲ καὶ πάρυφες καλοῦσι· τὸ δὲ κύκλῳ τὴν πορφύραν ἔχον, ἔγκυκλον [10]).

παραπλέξαι· ἐμπλέξαι [11]).

παραπλήξ· μαινόμενος, παράφρων, τὰς φρένας βεβλαμμένος [12]).

παρὰ πόδας· εὐθέως ἢ ἐγγὺς ἢ πλησίον [13]).

παραπτερυγίζειν· κολακεύειν, ἀπὸ τῶν ἀλεκτρυόνων.

---

1) Cf. Hesychium.

2) Poll. VII. 56. Cf. M. Schmidt. ad Hes. v. παραλουργεῖς.

3) Perperam Hesychius παραμήξας.

4) Idem sec. veteres Eustathius tradit p. 1280. 51, credo ex Arist. Lysistr. 1316 ubi παραμπύκιδδέ·τε, quod olim legebatur uno vocabulo παραμπυκίδδετε, quod proxime abest a παραμπυκίδδεται vel παραμπυκίζεται.

5) Nunquam in usu fuit activa forma. Fortasse aliud quid latet.

6) Hesychius παραπαίει.

7) Similiter Lex. rhet. Bekk. p. 294. 9.

8) Vocabulum Democriteum, cf. Diog. Laert. IX. 48. Prolegom. p. 125.

9) Codex πλασάμενος. Emendata lectio apud Hesychium.

10) Usurpavit Macho apud Athen. XIII. 582 D. Cf. Hesych. Poll. VII. 53. IV. 118 et 120. Postrema glossae verba in Codice perperam iterata post vocem παρ' ἕκαςα.

11) Hesychius. Rectius fortasse παρεμπλέξαι, cf. infra v. παρεπλεξάμην.

12) Hesychius.

13) Hesychius παρὰ πόδα.

πανχρμόνιον· ὄργανον μουσικόν. Ἄλεξις· — ἐν ᾧ Τὸ παναρμόνιον τὸ καινὸν ἔντεινον τεχνῶν [1]).

παράρρυμα ποδός· τὰ ὑποδήματα τὰ ῥυόμενα τοὺς πόδας [2]).

παρασάγγης· εἶδος μέτρου Περσικοῦ ὅ ἐςι ςάδια τριάκοντα [3]).

παρασημαίνει· δηλοῖ, χαράττει [4]).

παράσημος· ἀδόκιμος [5]).

παράσημος ῥήτωρ· ὁ Φαῦλος· ἀπὸ μεταφορᾶς τῶν νομισμάτων· τούτων γὰρ τὰ Φαῦλα παράσημα λέγεται [6]).

παράσιτοι· οἱ ἐπὶ τὴν τοῦ σίτου ἐκλογὴν αἱρούμενοι· κεῖται ἡ λέξις ἐν τῷ τοῦ βασιλέως νόμῳ [7]).

παρασεῖσαι τὰς χεῖρας· τὸ ἐν τῷ τρέχειν γινόμενον.

παρασκήνια· αἱ εἴσοδοι αἱ εἰς τὴν σκηνήν [8]).

παράσιτος· κοσσοτράπεζος [9]).

παρασπιςής· παρεςὼς ὁπλίτης [10]).

παράςασις· ἡ διδομένη δραχμὴ ὑπὲρ τοῦ εἰσαχθῆναι τὴν δίκην· Ἄνδρες Ἑλλήνων ἄριςοι καταβαλεῖν παράςασιν [11]).

παρασπονδήσας· παραβὰς τὰς σπονδάς [12]).

παρασπονδοῦμαι· παραβαίνομαι.

παραςησάμενος· παραλαβών, ἑλών, καταςρεψάμενος [13]).

---

[1]) In ἐν ᾧ Dobraeo et Meinekio visum est latere fabulae nomen, Λίνῳ vel Ὕπνῳ. Pro τεχνῶν equidem praetulerim τρέχων. Cf. Meinek. Fragmt. Com. III. 524.

[2]) Codex παράρυμμα. Plura apud Hesychium qui laudat Sophoclis Polyxenam.

[3]) Hesychius. Cf. Prolegom. p. 112.

[4]) Rectius quam Hesych. qui exp. παραχαράττει, παραδηλοῖ.

[5]) Cf. Hesychium.

[6]) E Demosth. de Cor. § 242. Similiter Lex. rhet. Bekk. p. 292. 15. Cf. Harpocr.

[7]) Hesych. Fluxisse hoc videtur e Polemone, cf. Athen. VI. 234 F. 235 B. C. Plura HSt. VI. 379 C. Preller. Polem. p. 119.

[8]) Paulo plura Lex. rhet. Bekk. p. 292. 12. Cf. Harpocr.

[9]) Hesychius. Cf. HSt. IV. 1874 C.

[10]) Hesychius.

[11]) Similiter Lex. rhet. Bekk. p. 298. 32. Cf. Harp. Cobet. in Mnemosyne V. 201.

[12]) Hesychius.

[13]) Cf. Hesychium qui exp. μετακαλεσάμενος.

παραστάται· οἷον οἱ παριστάμενοι ἢ ὑπηρετοῦντες τοῖς ἕνδεκα, τουτέστι, τοῖς βασανισταῖς [1]).

παραστησόμεθα αὐτὸν εἰς κρίσιν· Πολιτείας η'· ἀντὶ τοῦ καταστήσομεν αὐτὸν εἰς κρίσιν· τὸ μὲν γὰρ ἔγκλημα ἀντωμοσία καλεῖται· ὁ δ' ἐγκαλῶν γράψας τὸ ὄνομα εἰς πινακίδιον καὶ τὸ ὄνομα καὶ τὸ ἐπίσημον μεθ' ὑπηρέτου τῷ ἐγκαλουμένῳ ἐπιδίδωσιν [2]).

παρασχεδόν· παραυτίκα.

παρατέθηγμαι· ἠκόνημαι [3]).

παρατηρημάτων· ἐπιτηρήσεων, κληδονισμῶν καὶ ἀπαντήσεων καὶ οἰωνοσκοπιῶν καὶ μαντειῶν [4]).

παρατίλτρια· οὐ δρωπακίστρια· καὶ παρατιλλόμενος· ὁ πιττούμενος [5]).

παρὰ τούτου· ἀντὶ τοῦ ἀπὸ τούτου· καὶ παρὰ τοῦτον ἀντὶ τοῦ πρὸς τοῦτον· οὕτως πανταχοῦ Ἀρριανός.

παρατρύζει· παραφωνεῖ· εἴληπται δὲ ἀπὸ τῶν ὀρνέων ὅταν τοῖς οἰκείοις νεοττοῖς γοερὰ ἐπιφωνῶσιν [6]).

παρατεῖναι· τὸ ἐπιτρῖψαι καὶ ἀπολέσαι· ὁ κωμικὸς ἐπὶ Εὐβοίας· Οἶδ'· ὑπὸ γὰρ ὑμῶν παρετάθη καὶ Περικλέους [7]).

παραύλια· πρόσχωρα [8]).

παραυτίκα· ἔγγιόν τι τοῦ αὐτίκα σημαίνει καὶ ὑπογυώτερον· Θουκυδίδης· εἰ δέ τις τὸ παραυτίκα μὴ ἐθέλοι ξυμμαχεῖν [9]).

παραφέρων· παράγων [10]).

παράφορος· ὁ παρ' ἑαυτὸν καὶ ὑπὸ δαίμονος παραφερόμενος [11]).

---

[1]) Similiter Lex. rhet. Bekk. p. 296. 32. Sed apud Photium scribendum est οἱ βασανισταί.

[2]) Codex γράψας τὸ ο. Glossam refer ad Plat. Rep. VIII. 555 B.

[3]) Hesychius.

[4]) Cf. Hesychium.

[5]) Vocabulo Cratinus usus est, cf. Athen. XIV. 638 F.

[6]) Codex παραφρονεῖ. Recte Hesychius et Lex. Bachm.: παραφωνεῖ.

[7]) Codex ἐπιστρέψαι. Corr. Cobet. Respicitur Arist. Nub. 212. Ad Timaei glossam παρατενεῖς, cf. Ruhnk. et Cobet. Mnemos. VII. 124.

[8]) Hesychius qui πρόχωρα.

[9]) Thucyd. I. 27 recte habet ξυμπλεῖν pro ξυμμαχεῖν. Cf. Cobet. in Mnemosyne VIII. 49.

[10]) Fortasse ex Aesch. Tim. § 132.

[11]) Similiter Hesychius. Fortasse e Plat. Legg. VI. 775 D.

παραχαράκτης· διαςροφεύς [1]).
παραχειμάζοντι· Δημοσθένης. καὶ παρεχείμασεν Ὑπερείδης [2]).
παραχρᾶται πολύ· σφοδρῶς συνουσιάζει, ἀκολάςως μίγνυται· εἴρηται δὲ καὶ ἐφ' ἑκάςου πράγματος ὃ ἐκ περιουσίας γίνεται [3]).
παραχορδίζειν· διαφωνεῖν, ἁμαρτάνειν [4]).
παραυχενίζων· παρακρούων [5]).
παρέγγραπτον· νόθον [6]).
παρεγγεγραμμένος· ὁ μὴ ἀςός [7]).
παρεγγράπτους· ξένους, νόθους.
παρεγγυᾷ· παραδίδωσι, παραγγέλλει, παραινεῖ, παρακατατίθεται [8]).
παρεγγυήσαντος· παρασχόντος [9]).
παρεγγυῶν· παραινῶν, διαβεβαιούμενος.
παρεθείς· παραλυθείς.
παρεθέντος· ἐκλυθέντος.
παρεῖαι ὄφεις· ὄφεις παρειὰς ἔχοντες μεγάλας, ἱεροί, οὐ τοὺς ἀνθρώπους ἀλλὰ τοὺς ἄλλους ὄφεις ἀδικοῦντες [10]).
παρίετο· παρῃτεῖτο.
παρεικάθῃ· παρέλθῃ [11]).
παρήκοντα· παρατείνοντα· ὡς διήκοντα, ἐπεκτεινόμενα.
παρεικότος· παραλελυμένου.
παρειμένον· κεχαυνωμένον.
παρειμένος· παρεωραμένος [12]).

---

[1]) Vocabulum παραχαράκτης novicium est. Excidit fortasse glossa παρατρώκτης, cf. Albert. ad Hesych. cuius ratio probatur in Thes. VI. 439 D. Vide quoque M. Schmidt. ad Hes. π. 708.

[2]) Demosth. c. Phorm. § 8.

[3]) Aliud quid latere videtur. Attici certe dicebant παραχρῆται.

[4]) Supra παρακεχόρδικεν. Antiatt. Bekk. p. 115. 2 ex Aristophane laudat παραχορδίσαι, cf. Eccl. 295.

[5]) Hesychius exp. παρακλίνων.

[6]) Hesychius.

[7]) Haec fortasse coniungenda cum gl. sup. cf. Hesych.

[8]) Hesychius.

[9]) Hesychius. Cf. Harpocr.

[10]) Demosth. de Cor. § 260. Explicatius Harpocr.

[11]) Plat. Soph. 254 C. Pro παρέλθῃ Cobetus Mnem. IX. 387 scribit παρείκῃ.

[12]) Plenius Hesychius.

πάρειμι· παρελεύσομαι.
παρείς· ἐάσας, ἀφείς [1]).
πάρεισι· παρελεύσεται.
παρήσεται· παραιτήσεται [2]).
πάρεισι· παραρρηδήσεται [3]).
παρεισκρίνει· παρεισέρχεται, παρεισβάλλει [4]).
πάριτε· παραγίνεσθε [5]).
παρ' ἕκαςα· ἑκάςοτε.
παρεκβατικῶς· συντόμως.
παρεκόπτου· ἠφάνιζες· ἀπὸ τῶν τὰς πτέρυγας παρακοπτομένων ὀρνέων [6]).
παρεκότει· ὠργίζετο.
παρέλαβον τὴν πόλιν οὐ τὴν ἐπὶ τῶν προγόνων (τὴν Μαραθωνομάχον) ἀλλὰ γραῦν σανδάλια ὑποδεδεμένην καὶ πτισάνην ῥοφοῦσαν [7]).
παρελαχάνιζες· παρέπρασσές τι καὶ μετεῖχες [8]).
παρέλεξας· τὰς ὑπερεχούσας τρίχας ἐν ταῖς ὀφρύσιν εἰώθασιν ἐκλέγειν· ἔνιοι δὲ ἐκσύρουσι τὴν τοιαύτην θεραπείαν γίνεσθαι [9]).
παρελθών· ἀντὶ τοῦ εἰσελθών.
παρ' ἆλκον· περιττὸν ἢ παρατεῖνον [10]).
παρέλυσαν· ἀπήλλαξαν, μετέςησαν. Θουκυδίδης· τὸν μὲν Νικίαν οὐ παρέλυσαν τῆς ἀρχῆς [11]).
παρεμβαλόντων· κυκλωσάντων.
παρέμφασις· παραίνεσις, συμβουλή.

---

[1]) Hesychius.
[2]) Codex παρείσεται. Corr. Cobet. Mnem. VII. 478.
[3]) Sic Porson. sed Codex παρερηδήσεται. In Indice a Dobraeo laudatur Arist. Eqq. 330.
[4]) Hesychius παρεισκρίνεται.
[5]) Sic emendo Codicis lectionem: παρεῖτε· παραγίνεσθαι. Cf. Arist. Acharn. 43.
[6]) Hesychius. Ex Arist. Eqq. 804. 858.
[7]) Nota vox est Demadis. Scripsi παρέλαβον pro παρέλαβεν et addidi τὴν Μαραθωνομάχον. Cf. Cobet. Var. Lect. p. 182.
[8]) Dindorfio in Thes. VI. 310 B desumtum videtur e poeta comico Euripidem carpente. Interpretationem non prorsus intelligo.
[9]) Supra παραλέγειν.
[10]) Vide an delendum sit ἢ παρατεῖνον· mihi certe διττογραφία videtur.
[11]) Thucyd. VII. 16. Cf. Phrynich. Bekk. p. 59. 16.

παρενδατη· παρεντεθῇ [1]).
παρενθήκη· ἐπὶ τῶν παρεργαζομένων τεχνιτῶν [2]).
παρεξειρεσίαν· τὸ ἔξω τῶν ἐρεσσόντων. ἐν δ' Θουκυδίδης [3]).
παρεξηυλημένον καὶ κατατετριμμένον· τὸ ἀμυδρόν· ἀπὸ τῶν γλωσσίδων τῶν αὐλῶν τῶν κατατετριμμένων· Ἀριςοφάνης· Οὐδὲν ὄντας ἀλλὰ κωφοὺς καὶ παρεξηυλημένους [4]).
παρενείρει· παρεμβάλλει· ἤγουν λέγει.
παρεπλεξάμην· παρέπλεξα τῶν τριχῶν ἀπὸ τοῦ ἐμπλέκειν [5]).
παρέπτη· παρῆλθεν.
πάρεργος· ὀλίγωρος· καὶ παρέργως· ὀλιγώρως.
παρέρχεται· ὑπερβάλλει [6]).
πάρες· ὑποχώρησον.
πάρεσις· νέκρωσις.
παρετέον· σιωπητέον, παραλειπτέον [7]).
παρευδοκιμησάσης· νικησάσης ἤτοι εἰς δόξαν ὑπερβάσης.
παρευθύνει· παραφέρει, βιάζεται [8]).
παρευνηθείς· παρακοιμηθείς.
παρηβηκώς· γεγηρακώς [9]).
παρηβῆσαι· παρακμάσαι.
παρηγορίας· συμβουλῆς ἢ παρακλήσεως.
παρήκαμεν· ἐπέμψαμεν ἢ ἀφήκαμεν.
παρῆν· παρήμην [10]).
παρῆσθα· παρῆν [11]).

---

[1]) Sic Codex et idem apud Hesych. Coniicit Albertus: παρενδοθῇ· παρεντεθῇ. Res incerta. Malim certe: παρενταθῇ· παρεντεθῇ.
[2]) Plenius haec vide apud Hesychium.
[3]) Codex παρεξερεσίαν. Hesych. Respicitur Thuc. IV. 12.
[4]) Aristophanis locus legitur Acharn. 681. Vide quoque Hes. Ceterum legendum videtur: παρεξηυλημένον· ὃν καὶ κατατετριμμένον vel simile quid.
[5]) Supra παραπλέξαι. Dindorf. in Thes. VI. 358 D mavult παρενεπλεξάμην et παρενέπλεξα.
[6]) Hesychius.
[7]) Codex παραληπτέον. Plat. Legg. VII. 796 A.
[8]) Cf. Hesychium παρευθύνουσι.
[9]) Herodt. III. 53.
[10]) Vide seq. gl.
[11]) Cobetus latere suspicatur παρῇ, παρῆσθα, παρῆν.

παρήσω· παράσχω [1]).

παρθένοι· οἱ γεννώμενοι παρθένῳ πρὸ τοῦ γήμασθαι· ὑπὸ δὲ Ἀθηναίων Ἐρεχθέως θυγατέρες· παρὰ δὲ Γοργίᾳ παρθένος ἐπὶ παντὸς ἀμετόχου τέτακται· καλοῦνται δὲ ἐκ μεταλήψεως καὶ ἄφθοροι [2]).

παρθένοι· τὰς Ἐρεχθέως θυγατέρας οὕτως ἔλεγον καὶ ἐτίμων· ἦσαν δὲ τὸν ἀριθμὸν ἕξ, πρεσβυτάτη μὲν Πρωτογένεια, δευτέρα δὲ Πανδώρα, τρίτη Πρόκρις, τετάρτη Κρέουσα, πέμπτη Ὠρείθυια, ἕκτη Χθονία· τούτων λέγεται Πρωτογένεια καὶ Πανδώρα δοῦναι ἑαυτὰς σφαγῆναι ὑπὲρ τῆς χώρας, στρατιᾶς ἐλθούσης ἐκ Βοιωτίας· ἐσφαγιάσθησαν δὲ ἐν τῷ Ὑακίνθῳ καλουμένῳ πάγῳ ὑπὲρ τῶν Σφενδονίων· διὸ καὶ οὕτως καλοῦνται παρθένοι Ὑακινθίδες, καθάπερ μαρτυρεῖ Φανόδημος ἐν τῇ ε' Ἀτθίδι, μεμνημένος τῆς τιμῆς αὐτῶν· καὶ Φρύνιχος Μονοτρόπῳ [3]).

παρίαμβοι καὶ παριαμβίδες καὶ ἴαμβοι· κιθαρῳδικοὶ νόμοι οἷς προσηύλουν [4]).

παριεμένους· παρερχομένους.

παρίεται· παραλύεται [5]).

παριλλαίνουσαν· παραβλέπουσαν [6]).

παριππεύσαντες· παραδραμόντες.

παρ' ἵππον καὶ κόρην· τόπος Ἀθήνησιν οὕτω καλούμενος, ἐπειδή τις τοῦ γένους τῶν Κοδριδῶν Ἱππομένης τοὔνομα ὃς καὶ τελευταῖος ἐβασίλευσεν, τὴν θυγατέρα καθεῖρξεν ἐν χωρίῳ τινὶ μεθ' ἵππου μαινομένου διότι λαθραίᾳ μίξει τὴν παρθενίαν αὐτῆς ἐλυμήνατο· καὶ ὁ ἵππος τὴν κόρην βορὰν ἐποιήσατο ἀφ' οὗ παρ' ἵππον καὶ κόρην ὁ τόπος ἐν ᾧ τὸ πάθος ὑπέστη καλεῖται [7]).

---

1) Hesychius παρήσομεν.

2) Apparet interpretationem initio corruptam esse, sed certam medelam non video. Fortasse quaedam desunt.

3) Valckenaerius legit ὑπὲρ τῶν Σφενδαλέων. Glossa mihi fluxisse videtur e Didymi commentario in Euripidis Erechtheum. Cf. Bernh. ad Suid. Intt. ad Apostol. 1307. Preller. Myth. Gr. II. 100. Addo fortasse rectius scribi Σφενδονῶν, coll. Lex. rhet. Bekk. p. 202. 22.

4) Codex οἱ πρ. Cf. Poll. IV. 83. 66. Phot. v. ὄρθιον νόμον. Vide quoque Hesychium.

5) Aliter Hesychius.

6) Hesychius exp. παρεμβλέπουσα.

7) Similia in Lex. rhet. Bekk. p. 295. 12. Adnotationem

παρισθι· παραγίνου, παρατύγχανε· Ἕρμιππος Δημόταις[1].
παρίσθμια· τὰ περὶ τὸν φάρυγα[2].
Πάρνης· τὸ ὄρος, θηλυκῶς· Ἐς τὴν Πάρνηθ' ὀργισθεῖσαι φροῦδαι κατὰ τὸν Λυκάβηττον· Ἀριστοφάνης Νεφέλαις, καὶ ἑξῆς[3].
πάρνοπες· ἀττέλαβοι· οἱ δὲ τὰς Κυπρίας ἀκρίδας οὕτως ἀπέδοσαν[4].
παροιμία· λόγος ὠφέλιμος, καταχρηστικῶς δὲ πᾶν τὸ παροδικὸν διήγημα· οἶμος γὰρ ἡ ὁδός[5].
παροινίας· ὕβρεις[6].
πάροινος· μέθυσος[7].
παροισθέντι· παρενεχθέντι[8].
παροιστρῶσι· παρακαθίσωσι θυμῷ.
παρό· διό.
παροκλάζων· γονατίζων[9].
παροκωχή· παροχή παρὰ Θουκυδίδῃ· ὡς ἡ ἀνοκωχή καὶ διοκωχή[10].
παρολκή· ὑπέρθεσις[11].
παρομαρτεῖ· παρακολουθεῖ[12].
παρ' ὅντινα οὖν· παρὰ πάντα[13].
παρορμᾷ· διεγείρει, παροξύνει[14].

---

refero ad Aesch. Tim. § 182. Cf. Intt. ad Diogen. 301, Heraclid. Pont. in Rep. Athen. 3, alios multos. Ceterum Codex βοᾶν habet, Porsonus βοράν, de qua correctione dubito, nam nihil refert βορὰν legi apud Suidam. Historiam non esse sed meram fabulam de Hippomene, Aeschines docere poterit.

[1]) Codex παράπνου.

[2]) Hesychius φάρυγγα.

[3]) Dindorf. legit καὶ τὸν Λ. Cf. Tim. ibiq. Ruhnk. et HSt. VI. 527 D. Codex θηλυκῶς ἐστιν — φροῦδε.

[4]) Brevius Hesychius. Cf. Timaeum.

[5]) Similia Hesychius.

[6]) Hesychius παροινίαι.

[7]) Hesychius.

[8]) Suspiceris contra: παρενεχθέντι· παροισθέντι, nam παρενεχθέντι Erotianus affert ex Hippocrate. Hesychius c. Phot. conv.

[9]) Hesychius παροκλάζοντες.

[10]) Thucyd. VI. 85. Codex ἀνακωχὴ καὶ διακωχή. Cf. Cobet. in Mnemosyne V. 188. X. 89.

[11]) Hesychius.

[12]) Hesychius.

[13]) Plat. Theag. 128 B.

[14]) Hesychius.

παρ' οὐδέν· εὔκολον, εἰς οὐδέν [1]).

παροχετεύει· παραπλαγιάζει· ἢ ἀπὸ ἑτέρου ὑδρηγοῦ εἰς ἕτερον ἐπιβάλλει ἢ μεταφέρει τὸ ὕδωρ [2]).

παροχετεύοντες· μεταφέροντες.

παροχλίζουσι· μετακινοῦσιν.

παροχήσομαι· πάροχος ἔσομαι [3]).

πάροχος· ὁ παροχούμενος ἐκ τρίτων τῷ νυμφίῳ καὶ τῇ νύμφῃ ἐπὶ τῆς ἁμάξης [4]).

παροψίδας· [5]).

παροψίς· ἐμβάφιον, ὀξυβάφιον [6]).

παροψίς· οὐ τὸ ἀγγεῖον ἀλλὰ καὶ ὄψον κεκαρυκευμένον [7]).

παρουσία· λέγεται οὕτως ἐπὶ τῆς τῶν παρόντων δαψιλείας, ὡς καὶ ἐν τῷ Πλάτωνος Φάωνι· ὡς καὶ νῦν ἔχομεν παρουσίας· καὶ πολύ ἐστιν ἐπὶ τούτου παρ' Ἀττικοῖς· καὶ ἐπὶ τοῦ παρεῖναι δὲ τάσσεται· ὡς καὶ ἐν τοῖς Νίπτροις Σοφοκλέους· τὴν παρουσίαν Τῶν ἐγγὺς ὄντων· Θουκυδίδης ἐν τῇ α'· Βυζάντιον γὰρ ἑλὼν τῇ προτέρᾳ παρουσίᾳ· τούτῳ γὰρ τὸ ἐναντίον σημαίνει ἡ ἀπουσία [8]).

παρρησία· ἐξουσία, ἄδεια [9]).

παρυφή· ἡ ἐν ἐσθῆτι ἐργασία.

παρύφως· [10]).

παρῶ· ἀφῶ, συγχωρῶ [11]).

---

1) Hesychius. Exempla in Thes. VI. 205 D.

2) Cod. παροχεύει. Cf. Hes. Usurpavit Plato Legg. VIII. 844 A.

3) Convenit Polluc. III. 40.

4) Fortasse adnotatio est Pausaniae, cf. Eustath. p. 835. 48 et Phot. v. ζεῦγος ἡμιονικόν.

5) Supplet Porsonus e Suida σκεύη ὑπηρετικὰ τραπέζης, sed Lex. Bachm. exp. πίνακας, καυκίας.

6) Hesychius.

7) Codex ὄψον καὶ μακαποιαι. Corr. ope Phryn. Bekk. p. 60. 5, cf. Ecl. p. 74. Exempla poetarum apud Athen. IX. 368 D.

8) Codex παρ' αὐτοῖς. Cf. Harp. Corr. Meinekius. Perperam Suidas Φαίδωνι, cf. Porson. Eur. Med. 140 et Wyttenb. Plat. Phaedr. 265. Thucyd. locus legitur I. 128. Vocabulum a Dindorfio redditur Dem. p. 166. 11, cf. Cobet. Mnem. VII. 20.

9) Hesychius.

10) Latet παρυφασμένη vel simile quid, fortasse coniungendum c. gl. sup.

11) Cf. Hesychium.

παρῶαι· ἵπποι μεταξὺ τεφροῦ καὶ πυρροῦ χρώματος [1].

παρῳδούμενος· ψεγόμενος [2].

παρωθοῦντες· ἐκβάλλοντες.

παρῶμμαι· ἐν ὑπεροψίᾳ εἰμί· Μένανδρος Ἡνιόχῳ [3].

παρώνυμον· ἐκ τοῦ συμβεβηκότος λεγόμενον [4].

παρώπια· καὶ ἀντήλια· τὰ παρὰ τὰς ὄψεις τῶν ἵππων δερμάτια [5].

παρῶπτο· παρεώρατο [6].

παρώσας· ἐκβαλών [7].

πάσῃ τέχνῃ· ἐκ παντὸς τρόπου· Ἀριςοφάνης Λυσιςράτῃ· Σὺ δ' ἢν σχολάσῃς, πάσῃ τέχνῃ πρὸς ἑσπέραν Ἐλθὼν ἐκείνῃ τὴν βάλανον ἐνάρμοσον [8].

πασπάλη· τὸ τυχόν· οἱ δὲ κέγχρον· οἱ δὲ τὰ κέγχρινα ἄλευρα· Ἱππῶναξ· πασπαληφάγον γρόμφιν [9].

πάσσακι· πασσάλῳ [10].

πασσυδί: παντελῶς· ὁ Θουκυδίδης η'· μὴ οὕτω γε πασσυδὶ διεφθάρθαι· ὅπερ ἀγνοήσαντές τινες γράφουσι πανσυδί· ἔςι καὶ ἐν Αὐτομόλοις Φερεκράτους [11].

παςά· ἔτνος ἀλφίτοις μεμιγμένον [12].

πάσσους· παχυτέρους.

---

[1] Cf. Hesychium. Usurpavit Arist. H. A. IX. 45.

[2] Codex λεγόμενος.

[3] Codex ἡνιόβῳ.

[4] Hesychius. Cf. Aesch. Eum. 8.

[5] Ex Aelio Dionysio apud Eustathium p. 914. 44, ubi quod addit ὅπερ οἱ θεωρικοὶ πάρωπον λέγουσι lego οἱ νεώτεροι. Similia Hesych. et Polluc. II. 53 et X. 54, sed hi ἀνθήλια scribunt, Codex ἀντίλια.

[6] Hesychius.

[7] Codex παρεκβαλών. Cf. Hes. M. Schmidt. Didym. p. 107.

[8] Arist. Lysistr. 412. Codex οὐδ' ἦν.

[9] Arist. Vesp. 91, cf. Schol. Similiter Hesych. sed omittit Hipponactis auctoritatem. Codex πασπάλιν φαγών.

[10] Codex πασπακίῳ· π. Correxi ex Aristoph. Acharn. 763, cf. M. Schmidt. ad Hesych.

[11] Codex οὕτω τε et γράφουσι. πασσυδί — Φερεκράτου. Observatio est Aelii Dionysii, cf. Eustath. p. 166. 14. Dixit de hoc loco Cobetus in Mnem. X. 93.

[12] Excerptum ex Aelio Dionysio, cf. Eustath. p. 1278. 50. Vide quoque Hesychium.

πασχητιᾷ· πάσχειν θέλει [1]).

πατάνια· τὰ ἐκπέταλα καὶ τὰ ἀναπεπταμένα λοπάδια· οἱ δὲ πολλοὶ διαςρέφουσιν ὡς Ῥωμαϊκὸν τὸ ὄνομα [2]).

πάταχνα· ποτήρια φιαλοειδῆ ἐκπέταλα [3]).

πάτορες· κτήτορες [4]).

πατάγημα· ἀντὶ τοῦ λάλος καὶ πανοῦργος· Μένανδρος· Οἷον πατάγημ' ἥκεις [5]).

πατραλοίας· πατρατύπτης [6]).

πατρίληκτος· ἡ οὐσία ἡ πατρικὴ καὶ ὑπὸ τοῦ πατρὸς εἰληγμένη κλήρῳ [7]).

πατριώτης· ὁ βάρβαρος λέγεται τῷ βαρβάρῳ καὶ οὐ πολίτης [8]).

πατριῶται· οἱ δοῦλοι ἀλλήλων· πολῖται δὲ οἱ ἐλεύθεροι· οἱ δὲ τοὺς βαρβάρους πατριώτας [9]).

πατριαί· χῶραι, φυλαί, τοπαρχίαι [10]).

πατρονομούμενοι· οἱ τοὺς ἀπὸ τῶν πατέρων παραδεδομένους νόμους τηροῦντες [11]).

πατρῴζοντα· τὰ τοῦ πατρὸς φρονοῦντα [12]).

πατρῴων πατρίων καὶ πατρικῶν· πατρῷα λέγουσιν οἱ παλαιοί, ὅταν αὐτοῖς ὁ λόγος ᾖ περὶ χρημάτων ἢ τόπων· οὕτως Ἰσαῖος ἐν τῷ πρὸς Διοκλέα· πάτρια δὲ τὰ ἔθη καὶ τὰ νόμιμα καὶ τὰ μυςήρια καὶ τὰς ἑορτάς, ὡς Ἀντιφῶν· πατρικῶν δέ, ὅταν περὶ προσώπων ποιῶνται τὸν λόγον, ὡς Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος [13]).

---

[1]) Hesychius.

[2]) Isti scil. dicebant *πατίνιον* a *patina*: Dobr. Cf. Hesychium. Poll. VI. 90. X. 107. Athen. IV. 169 E. F. Codex *ἀναπεπταμένα*.

[3]) Cf. Hesychium.

[4]) Cf. Hesychium. Vide Dind. Thes. VI. 624 B

[5]) Codex *ἀντίλαλος*. Correxit Mehl. Mnem. IV. 41.

[6]) Hes. Lex. rhet. Bekk. p. 384. 8, alibi. Cf. Thes. VI. 607 C.

[7]) Codex *εἰλημμένη*. Corr. Cobet. Cf. Lex. rhet. Bekk. p. 294. 12.

[8]) Hesych. Poll. III. 54. Antiatt. Bekk. p. 113. 20 et gl. seq.

[9]) Codex *οἱ δοῦλοι ἑλλήνων·* corr. Cobet. Var. Lect. p. 244 et in Mnemosyne VIII. 50.

[10]) Fortasse glossa sacra.

[11]) Plat. Legg. III. 680 E, cf. Tim.

[12]) Hesychius exp. *πατρῴζουσαι*.

[13]) Laudatur Aesch. Ctes. § 52. Brevius in Lex. rhet. Bekk. p. 297. 30.

πατταλεῦσαι· προσπῆξαι.
παῦ· τὸ παῦσαι λέγουσι μονοσυλλάβως [1]).
παῦλα· ἀνάπαυσις [2]).
παυσικάπη· μηχάνημα τροχῷ ἐμφερές, δι' οὗ τὸν τράχηλον διεῖρον καὶ τῶν ὑποζυγίων ὥςε μὴ ἐσθίειν καὶ τῶν ἀνθρώπων, ὡς μὴ δύνασθαι τὰς χεῖρας τῷ ςόματι προσάγειν [3]).
παχεῖς· Ἀττικοὶ τοὺς πλουσίους καλοῦσι συνήθως [4]).
παχνουμένης· ἀνιωμένης [5]).
παχύνοι· παχύνοες, ἀνόητοι [6]).
παχύτερον· ἀμβλύτερον, οὐκ ἀκριβές [7]).
πεδιακὰ πρόβατα· τόπος Ἀθήνησιν ἰδίως οὕτως ὀνομάζεται ἐν ᾧ πρόβατα ἐγίνετο καλὰ νεμόμενα [8]).
πεδίον· ἁπλῶς μὲν τὴν γῆν σημαίνει τὴν ὁμαλήν· σημαίνει δὲ καὶ τόπον τινὰ Ἀθήνησιν οὕτω καλούμενον [9]).
πεδοικούσης· μετοικούσης [10]).
πεδῆται· πεπεδημένοι, συνδεδεμένοι [11]).
πεδότριψ· ὁ πολλοὺς χρόνους ἐν πέδαις γεγονώς· καὶ πέδων ὁ αὐτός, καὶ ὀψιπέδων [12]).
πέδαυρος· μετέωρος [13]).
πεζέταιροι· οἱ ἀπὸ ἱερατικῶν ἔργων ἑταῖροι καὶ φίλοι γεγονότες· Δημοσθένης δὲ τοὺς περὶ τὸ σῶμα τοῦ Φιλίππου φρουροὺς οὕτως

---

[1]) Ex Aelio Dionysio, cf. Eustath. p. 1408. 28.
[2]) Hesychius.
[3]) Ex Aelio Dionysio qui apud Eustath. p. 1280. 36 rectius: ὥςε μὴ ἐσθίειν· ὁμοίως δὲ καὶ τῶν ἀνθρώπων ὥςε μὴ δ. Cf. quoque Hesych. et Schol. Arist. Pac. 14, qui laudat Aristophanem.
[4]) Ex. gr. Aristoph. Pac. 639.
[5]) Hesychius. Cf. Aesch. Choeph. 81: παχνουμένη.
[6]) Hesychius.
[7]) Hesychius pro ἀμβλύτερον habet ἁδρότερον.
[8]) Codex παιδία καὶ πρόβατα. Emendatius haec leguntur in Lex. rhet. Bekk. p. 296. 14. Plura Harpocr. Vide quoque Hesych.
[9]) Refero eodem.
[10]) Cf. Hesychium v. πεδοίκους.
[11]) Cf. Hesych. Sic Callias et Crates fabulas suas inscripserunt.
[12]) Cf. Eustath. p. 1542. 48.
[13]) Codex πέδουρος· correxit Cobet. Mnem. VIII. 50. Cf. M. Schmidt. ad Hesych.

ὀνομάζει, οἳ ἦσαν καὶ πιστοὶ καὶ ἰσχυροί· ἀπὸ μεταφορᾶς δὲ λέγεται τῶν πεζῶν αἵ εἰσι τῶν ἱματίων ᾦαι, ἐπεὶ ἔξωθεν εἰσὶν αὗται περὶ τὰ ἱμάτια κατεσκευασμέναι [1]).

πεζὰς μόσχους· ἀντὶ τοῦ ἑταίρας· ἐλέγοντο γάρ τινες οὕτως ὡς Ἀριστοτέλης ἐν τῇ Πολιτείᾳ· τὰς χωρὶς ὀργάνων· Κάνθαρος Συμμαχίᾳ· αὐλητρίδα πεζήν· καὶ Εὔπολις Κόλαξι [2]).

πεζίδα· τὴν ᾦαν τοῦ ἱματίου· Ἀριστοφάνης Σκηνὰς καταλαμβανούσαις· καὶ τὴν ἀργυρόπεζάν τινες οὕτως εἰρῆσθαι [3]).

πεζῇ· τὸ τοῖς ποσὶν ἐλθεῖν λέγουσιν· καὶ πεζῇ φράσαι τὸ ἄνευ μελῶν· Παῦσαι μελῳδοῦσ' ἀλλὰ πεζῇ μοι φράσον, ὁ Κωμικός·. τὰς ἑταίρας τὰς μὴ μουσικὰς ἀλλ' ἄνευ ὀργάνων καὶ ψιλὰς πεζὰς καλοῦσιν [4]).

πέζα· τὸ ἄκρον ἢ τὸ ἀπολῆγον τοῦ χιτῶνος, ὃ ἡμεῖς ᾦαν λέγομεν· πρότερον γὰρ ὑπὲρ τοῦ μὴ τρίβεσθαι δέρμα προβάτων προσέρραπτον [5]).

πεζολόγος· συγγραφεύς.

πεζοφοροῦσιν· ἤτοι πέζαν ἐχόντων τῶν ἱματίων ἢ τοῖς ποδήρεσιν [6]).

πεζῷ γόῳ· ἄνευ αὐλοῦ ἢ λύρας, ὡς καὶ πεζαὶ ἑταῖραι, αἱ χωρὶς ὀργάνων μισθαρνοῦσαι [7]).

πειρᾶν· τὸ πειράζειν ἐπὶ φθορᾷ καὶ συνουσίᾳ· Μένανδρος [8]).

πεισόμενον· παθεῖν μέλλοντα [9]).

πείσονται· πάθωσιν [10]).

πεκτούμενος· τιλλόμενος [11]).

---

[1]) Respicitur Dem. Olynth. § 17. Brevius Lex. rhet. Bekk. p. 289. 8. Cf. Harpocr. Ceterum in Etym. M. p. 699. 47 pro ἱερατικῶν legitur ὁδοιπορικῶν. Codex λέγονται.

[2]) Brevius Hesychius. Codex κάνθαροι.

[3]) In fine deesse suspicor φασιν.

[4]) Quod adhaeret τὰς ἑταίρας cet. loco motum videtur. Codex μὲν ᾠδούς.

[5]) Haec compone c. gl. ὀαὶ τῶν ἱματίων. Vide quoque Poll. VII. 62.

[6]) Recte Hesychius: πεζοφόροις ζώμασιν· Αἰσχύλος Τοξότισιν addita simili expl.

[7]) Similiter Hesychius. Codex καὶ πεζέταιραι χ.

[8]) Hinc supple Hesychium. Cf. Timaeum.

[9]) Hesychius.

[10]) Hesychius.

[11]) Hesychius. Ex Arist. Lysistr. 684.

πεκτεῖν· κείρειν πρόβατον [1]).

πελαγίζειν· Ὑπερείδης· τὸ ἀπὸ πελάγους περαιοῦσθαι [2]).

πελάζειν· πλησιάζειν, ἐγγίζειν [3]).

πειρᾶν· τὸ λόγους περὶ συνουσίας προφέρειν· καὶ πειραθῆναι· τὸ ἀκοῦσαι λόγους τοιούτους· Θουκυδίδης· πειραθεὶς δὲ ὁ Ἁρμόδιος ὑπὸ Ἱππάρχου τοῦ Πεισιςράτου καταγορεύει τῷ Ἀριςογείτονι· σημαίνει ἡ λέξις καὶ τὸ ἄλλως διαπειρᾶσθαι [4]).

πέλανοι· πέμματα ἐκ παιπάλης, τουτέςιν ἀλεύρου, εἰς θυσίαν ἐπιτήδεια· »καρποὶ μέλιτι δεδευμένοι". Διονύσιος Θρᾷξ· θεοῖς ἀπαρχαί τινες· λέγεται δὲ πέλανος καὶ ὁ περὶ τῷ ςόματι πεπηγὼς ἀφρὸς καὶ τὸ περιπεπηγὸς καὶ ἐξηραμμένον ὀπῶδες δάκρυον, οἷον· λιβανωτός, κόμμι· καὶ ὁ τῷ μάντει διδόμενος μισθὸς ὀβολός [5]).

πελαργικοὶ νόμοι· ἀντεκτρέφειν τοὺς γονεῖς· οὕτως Ἀριςοφάνης [6]).

πελαργικόν· τὸ ὑπὸ τῶν Τυρρηνῶν κατασκευασθὲν τῆς ἀκροπόλεως τεῖχος· τούτους γὰρ κληθῆναι Πελαργούς, οἷον Πελασγούς, ὡς πλάνητάς τινας· ἢ ὅτι ἰδόντες αὐτοὺς πρῶτον οἱ Ἀθηναῖοι σινδόνας λαμπρὰς περιβεβλημένους, πελαργοῖς εἴκαζαν [7]).

πέλας· πλησίον, γείτων [8]).

πελάται· οἱ παρὰ τοῖς πλησίον ἐργαζόμενοι καὶ θῆτες· οἱ αὐτοὶ

---

[1]) Hesychius. Ex Arist. Av. 714.

[2]) Hoc corrigendum ex Antiatt. Bekk. p. 111. 24: τὸ διὰ πελάγους πορεύεσθαι.

[3]) Hesychius. M. Schmidtio glossa Homerica videtur.

[4]) Thucyd. VI. 54. Locum laudat quoque Eustath. p. 445, Aelii Dionysii fide, opinor.

[5]) Codex ἐκ πολῆς. Cf. Ruhnk. ad Tim. 211 et Intt. Suidae apud quem locus paulo integrior exstare videtur. Glossa Platonica est, referenda ad Legg. VI. 702 C. Mira hic est mentio Dionysii Thracis. Vide Prolegg. p. 66 et 126. Suidas Θρᾳξίν. Vide porro Harp. qui laudat Eur. Or. 213. Sed potuitne umquam πέλανος significare obolum vati datum? Cf. Hesych. v. πεδανός ubi M. Schmidt. sui est dissimilis, et Nicandr. Alex. 488.

[6]) Refero ad Arist. Av. 1353. Cf. Hesychium.

[7]) Codex τυράννων — δόντες. Corr. Cobet. cf. Etym. p. 659. 12. Ex Arist. Av. 832. Vide quoque Hesych. et Lex. rhet. Bekk. p. 299. 16.

[8]) Convenit Hes. Aliter Lex. rhet. Bekk. p. 299. 10.

καὶ ἐκτήμοροι ἐπειδὴ ἕκτῳ μέρει τῶν καρπῶν εἰργάζοντο τὴν γῆν [1]).

πελάται· οἱ μισθῷ δουλεύοντες, ἐπεὶ τὸ πέλας ἐγγύς· οἷον ἔγγιστα διὰ πενίαν προσιόντες· Ἀριστοτέλης [2]).

πέλεκυς· ὁ δὲ πέλυξ βάρβαρον [3]).

Πελληνικαὶ χλαῖναι· διάφοροι· καὶ τοῖς νικήσασι τὰ Ἑρμαῖα ἐδίδοντο [4]).

πελιδνόν· μέλαν· λέγεται καὶ πελιτνὸν παρὰ Θουκυδίδῃ [5]).

πελιοί· μέλανες, ὠχροί [6]).

πελίκαν· Βοιωτοὶ τὴν ξυλίνην λεκάνην διὰ τὸ ἐκπεπελεκῆσθαι· Ἀπολλόδωρος δὲ ποτηρίου εἶδος [7]).

πελιτνόν· Θουκυδίδης διὰ τοῦ τ [8]).

πέλται· λόγχαι καὶ ἀσπίδια τετράγωνα [9]).

πελτασταί· τοξόται ἢ τοὺς ξυστοὺς κατέχοντες [10]).

πελτασταί· οἱ πέλτας ἔχοντες στρατιῶται· πέλτη δὲ εἶδος ἀσπίδος οὐκ ἐχούσης ἴτυν, οὐδ' ἐπίχαλκον, οὐδὲ βοὸς ἀλλ' αἰγὸς δέρματι περιτεταμένη [11]).

πέλλυτρα· κόσμος τις [12]).

πέμματα· πλακούντια [13]).

---

[1]) Codex τὸν καρπόν. Glossa Plat. cf. Schol. Euthyphr. 4 C et Prolegg. p. 56.

[2]) Haec coll. Schol. glossa Platonica videtur. Vide porro Ruhnkenium ad Timaeum.

[3]) Indidem atque Phot. Eust. habet p. 583. 27 et 1656. 12.

[4]) Cf. Hesychium et Poll. VII. 67.

[5]) Observatio est Aelii Dionysii, cf. Eustath. p. 735. 57. Laudat Thucyd. II. 49. Requiritur forma πελιτνόν in versu Alexidis apud Athen. III. 107 D. Cf. Piers. Moer. p. 325. Plura in Thes. VI. 700 D.

[6]) Convenit Hesychius.

[7]) Usurpavit Cratinus ἐν Θράτταις. Cf. Hesych., Athen. XI. 495 A, Pollucem X. 67. 73. 78. Utilis est horum locorum comparatio.

[8]) Observatio ex altera editione Dionysii.

[9]) Confundit πέλται et παλτά.

[10]) Iterum errat eundem errorem.

[11]) Paulo plura in Lex. rhet. Bekk. p. 297. 8.

[12]) Codex πελλοίρα. Cf. Hesych. Poll. II. 196. VII. 91 qui Aeschylum laudat ἐν Φρυξίν apud Bekk., vulgo ἐν Φοινίσσαις.

[13]) Haud satis scio utrum glossa Platonica an sacra sit. Con-

πέμπε· τὰ πέντε καὶ Αἰολεῖς καὶ Ἴωνες καὶ Ἀττικοί· πεμπάζειν γὰρ τὸ κατὰ πέντε ἀριθμεῖν· καὶ Ξενοφῶν πεμπάδαρχον καὶ Πλάτων πεμπάδα [1]).

πέμπειν· τὸ πομπεύειν· Μένανδρος Ὑποβολιμαίῳ ἢ Ἀγροίκῳ· Μικρὰ Παναθήναια, ἐπειδὴ δι' ἀγορᾶς πέμποντά σε, Μοσχίων, μήτηρ ἑώρα τῆς κόρης ἐφ' ἅρματος· καὶ πέμψαντες· τὸ πομπεύσαντες. Θουκυδίδης [2]).

πέμπτῃ φθίνοντος· ἐν ταύτῃ αἱ τῆς μοιχείας γραφαὶ ἐδίδοντο· Μένανδρος Χαλκίδι.

πέμφιξ· πνοή· Αἰσχύλος Ξαντρίαις ἐπὶ τῶν ἀκτίνων [3]).

πέμψιν· ἀποστολήν [4]).

Πενέσται· οἱ παρὰ Θεσσαλοῖς μὴ γόνῳ δοῦλοι· ἀπὸ τῶν ὑφ' Αἵμονος ἐν Ἄρνῃ νικηθέντων Βοιωτῶν, οὐ φυγόντων τὴν παρ' αὐτῷ δουλείαν ἀλλὰ μεινάντων μέχρι τῆς τρίτης γενεᾶς, φιληδούντων τῇ χώρᾳ· παρέδοσαν δ' ἑαυτοὺς ἐφ' ὅρκῳ ἐπὶ τῷ μήτε παθεῖν τι ἐργαζόμενοι μήτε ἐκβληθῆναι ἀπὸ τῆς χώρας· καὶ ἀπὸ τοῦ μεῖναι μενέσται καλούμενοι, ὕστερον πενέσται μετωνομάσθησαν, παραφθαρέντος τοῦ χαρακτῆρος [5]).

---

venit Schol. Plat. Rep. II. 373 A, sed convenit quoque Lex. XII. proph. p. Cyr. Voss., ubi respicitur Ezech. 45. 24.

[1]) Codex πέμπτα· πεντε καὶ Αἰολ. — πεμπτάζειν — καὶ πεμπώλαρχον· καὶ Πλάτων πέμπελα καὶ Ξενοφῶν. Xenophontis locus est in Cyrop. II. 3. 21, Platonis in Phaed. 110 A. Observatio Aelii Dionysii videtur.

[2]) Thucydidis locus est VI. 56. In Menandri versibus viri docti restituunt trochaeos: equidem malim sic:

τὰ μικρὰ Παναθήναι' ἐπειδὴ δι' ἀγορᾶς
πέμποντά σε . . . . . . Μοσχίων,
μήτηρ ἑώρα τῆς κόρης ἐφ' ἅρματος.

[3]) Cf. Hesychium. Aeschyli locum cum paucis aliis excerptum e lexico tragico servavit Galen. ad Hippocr. Epidem. Vol. IX. p. 385. Codex πέμψιξ.

[4]) Thucydides VII. 17.

[5]) Codex Αἰγίνῃ. Dobraeus Ἄρνῃ. Vide quae Eust. p. 295. 29 profert e rhetorico lexico, de quo loco docta est disputatio Ruhnkenii ad Timaeum in voce. Similia supra habuimus, vide Κλαρῶται, Καλλικύριοι, Κιλλικύριοι: omnia ni fallor fluxere e Callistrato, cf. R. Schmidt. p. 331 Nck. et Prolegg. p. 81.

Πενέσαι· οἱ τῶν Θετταλῶν δοῦλοι ἴσως παρὰ τὸ πένεσθαι, ὥσπερ οἱ τῶν Λακεδαιμονίων Εἵλωτες καὶ τῶν Κρητῶν Κλαρῶται [1]).

πενιχρὰν λέγουσι τὴν γυναῖκα καὶ πένησσαν [2]).

πενθερά· τῷ νυμφίῳ ἡ τῆς κόρης μήτηρ· καὶ πενθερὸς ὁ πατήρ· Εὐριπίδης δὲ γαμβρὸν αὐτὸν παρὰ τάξιν λέγει· ὁ γοῦν Ἀλκμαίων τῷ Φηγεῖ φησί· Καὶ σὲ ὦ γεραιὲ τήν τε παῖδα μὴ δῷς ἐμοί Γαμβρὸς νομίζῃ καὶ πατὴρ σωτήρ τ' ἐμός· καὶ ὁ Πρωτεσίλαος τῷ Ἀλκάθῳ φησίν· ἄξιος δὲ ἐμὸς Γαμβρὸς κεκλήσει παῖδά μοι ξυνοικίσας. Σοφοκλῆς δὲ τὸ ἔμπαλιν· εἶπε γὰρ πενθερὸν τὸν γαμβρὸν ἐν Ἰφιγενείᾳ· Ὀδυσσεύς φησι πρὸς Κλυταιμνήστραν περὶ Ἀχιλλέως· Σὺ δ' ὦ μεγίστων τυγχάνουσα πενθερῶν· ἀντὶ γαμβρῶν [3]).

πεντέπηχυ· καὶ πεντέκλινον· καὶ πεντέχαλκον· καὶ πεντέμηνον· καὶ πάντα τὰ ὅμοια οὕτω λέγουσι διὰ τοῦ ε [4]).

πεντέκτενοι· περιπόρφυροι, διὰ τὸ ἐνυφάνθαι παρὰ τὰς ὤας πέντε κτένας πορφυροῦς [5]).

πεντεσύριγγον ξύλον· πέντε ὀπὰς καὶ τρήματα ἔχον, τραχήλῳ, χερσί, ποσίν· Ἀριστοφάνης [6]).

πέντε κριταί· οἱ τοῖς κωμῳδοῖς ἀποδεικνύμενοι [7]).

Πεντέλεια· ὄρος Ἀρκαδίας, ἐξ οὗ ὁ Λάδων ποταμός [8]).

πεντελιθίζειν· διὰ τοῦ ε λέγουσιν [9]).

---

[1]) Codex Καλαρῶται: cf. apud Eustath. Il. Ἀρότται. Lex. rhet. Bekk. p. 292. 7 ubi καροταί. Vide quoque Lex. rhet. p. Phot. p. 676. 18.

[2]) Codex πένισσαν. Cf. Hesychium.

[3]) Fragmentum ex Alcmaeone corruptum est; hoc video legendum esse τήνδε παῖδ' ἣν δῷς ἐμοί, de ceteris ἐπέχω. Doctrina est Aristophanis Byzantii, cf. Nauckium p. 134. Codex
ει
γερεέ — πρωτελαος — ἀλκάσω — ξυνοικήσας.

[4]) Observatio est Aelii Dionysii, cf. Eustath. p. 1417. 32. E Dionysio sua habet Phryn. Ecl. p. 182. Vide Cobet. Var. Lect. p. 248 et Mnem. VII. 423.

[5]) Indidem ut videtur. Vocabulum e Menandro laudat Phot. v. περίνησα. Adde Poll. VII. 52. Codex περὶ — πεντεκτένας πορφύρους.

[6]) Arist. Eqq. 1049. Cf. Hesych. Codex τρίματα.

[7]) Cf. Hesychium et Zenob. 264.

[8]) Hesychius.

[9]) Cf. supra vide πεντέπηχυ. Comicorum locos voce apud Pollucem IX. 126.

πεντηκόνταρχος· ὁ τῆς πεντηκοστῆς τοῦ τέλους ἄρχων [1]).
πεντηκοστολόγοι· τελῶναι· Μένανδρος [2]).
πεντετηρίς· πενταετηρίς [3]).
πέξαι· κεῖραι [4]).
πεπαλημμένος· βεβαμμένος· καὶ πεπαληκέναι λέγεται τὸ ἐκπίπτειν τὰ πλοῖα [5]).
πεπαίνει· πραΰνει.
πεπαρῳνήκασιν· ἡμαρτήκασι [6]).
πέπειρον· ἀκμαῖον· εἴρηται δὲ ἐπὶ ὀπώρας ὡρίμου [7]).
πεπιναρωμένα· [8]).
πεπελτωμένα· πεπιναρωμένα [9]).
πεπεμμένην λέγουσιν οὐ μόνον ἀπεσταλμένην [10]).
πεπιλημένη· συνεσφιγμένη.
πεπλαδηκός· ὑγρανθέν, σεσηπός [11]).
πεπλασμένον· κακοῦργον [12]).
πέπληκται· ἥττηται· Μένανδρος [13]).
πεποιωμένον· ποιότητα ἔχον [14]).
πεπρωμένη· εἱμαρμένη, τύχη, γένεσις [15]).

---

[1]) Similiter Lex. rhet. Bekk. p. 297. 11. Sed legendum videtur πεντηκόσταρχος. Cf. Harp. et Thes. VI. 742 A.
[2]) Plura vide in Lex. rhet. Bekk. p. 297. 21 et apud Harp.
[3]) Cf. supra v. πεντέπηχυ et Phryn. Ecl. p. 180.
[4]) Hesychius.
[5]) Codex πεπαλμένος et πεπαλκέναι. Corr. Cobet. Cf. Hesych. πεπαληκέναι et πεπαλημέναι, qui βεβλαμμέναι exp. Utrum verum sit dubito.
[6]) Hesych. πεπαρῳνηκότων. Moer. p. 332. Eust. p. 1325. 34.
[7]) Cf. Hesych. et Moer. p. 120.
[8]) Delendum videtur: cf. gl. seq.
[9]) Malim πεπελιωμένα vel πεπελιτνωμένα.
[10]) Cf. Lex. rhet. Bekk. p. 423. 5. Legitur Dem. Aristocr. § 159. Cf. Cobet. Var. Lect. p. 253.
[11]) Codex πεπλαδικός. Emendata lect. in Lex. Bachm. Hesychius πεπλαδηκώς.
[12]) Cf. Hesychium.
[13]) Codex πέπλεκται. Corr. Dobr. Vide quoque Cobet. Mnem. VIII. 50.
[14]) Hesychius.
[15]) Cf. Hesychium. Codex πεσπρωμένη.

πέποσχα· Δωριέων τινὲς τούτῳ κέχρηνται, ὧν καὶ Στησίχορός ἐστιν [1].
πεπραδῖλαι· πορδαὶ ἢ γένος ἰχθύων ὅμοιον μεμβράδι [2].
περᾷ· πλέει.
περαίνοντας· τελειοῦντας [3].
περαιτέρω· πλέον πάνυ [4].
περγάμιον· δήμιον [5].
πέργαμον· τὴν πόλιν Ἴωνες λέγουσιν· οἱ δὲ πάντες τὰ ὑψηλά [6].
Πέρδικος ἱερόν· παρὰ τῇ ἀκροπόλει· Εὐπαλάμῳ γὰρ ἐγένοντο παῖδες Δαίδαλος καὶ Πέρδιξ, ἧς υἱὸς Τάλως, ᾧ φθονήσας ὁ Δαίδαλος τῆς τέχνης, ἔρριψεν αὐτὸν κατὰ τῆς ἀκροπόλεως, ἐφ' ᾧ ἡ Πέρδιξ ἑαυτὴν ἀνήρτησεν· Ἀθηναῖοι δὲ αὐτὴν ἐτίμησαν· Σοφοκλῆς δὲ ἐν Καμικίοις τὸν ὑπὸ Δαιδάλου ἀναιρεθέντα Πέρδικα εἶναι τοὔνομα [7].
περίτρια· ἡ περιαγγέλλουσα τὴν ὥραν [8].

---

[1]) Etymol. M. p. 662. 11 laudat Epicharmi: Ἀ δὲ Σικελία πέποσχε. Codex Στησίχωρος.

[2]) Codex πεπραδίδαι. Cf. M. Schmidt. ad Hesych.

[3]) Plat. Legg. IV. 723 E.

[4]) Cf. Hesychium.

[5]) Hesychius.

[6]) Cf. Schol. Plat. Phaedr. 243 A. Suidas πάντα. Itaque legam; Ἀττικοὶ δὲ πάντα τ.

[7]) Codex ἧς υἱὸς Καλὸς et Κωμικοῖς. Cf. Apollod. III. 15. 9 et Athen. IX. 388 F qui exscribit Sophoclis locum.

[8]) Hesychius περάτρια. Lex. Bachm. περήτρια. De hoc vocabulo alii alia quae vide apud M. Schmidt. Mihi placet περιαγύρτρια legere. Sequenti glossa videbis quid sit περιαγείρεσθαι. Confirmat emendationem litterarum ordo. Refero ad eum morem de quo Athen. VIII. 360 B: Εἶδος δέ τι τοῦ ἀγείρειν χελιδονίζειν οἱ Ῥόδιοι καλοῦσιν ὃ γίνεται τῷ Βοηδρομιῶνι μηνί. Χελιδονίζειν δὲ λέγεται διὰ τὸ εἰωθὸς ἐπιφωνεῖσθαι·

Ἦλθ' ἦλθε χελιδὼν
καλὰς ὥρας ἄγουσα κτέ.

Ciconia ipsa περιαγύρτρια dicebatur, quum pueri περιαγειρόμενοι eius adventum nunciarent.

Ἀ χελιδὼν καὶ λεκιθίταν
οὐκ ἀπωθεῖται.

Hoc est οὐκ ἀπωθούμεθα. Et statim addebant πότερ' ἀπίωμες ἢ λαβώμεθα. Saepe vidi Leidae, quum sub anni finem pueri vesperi civium domos adirent et ianuis adjacentes nunciarent instare Christi diem natalem.

περιαγειρόμενοι· ὥσπερ οἱ νικηΦόροι περιαγειρόμενοι ἀθληταί· Πολιτείας ε' ἐπὶ τέλει· λέγεται γὰρ ὅτι τὸ μὲν ἐξαρχῆς ἆθλα προὐτίθεσαν τοῖς ἀγωνιζομένοις, ὃν τρόπον καὶ Ὅμηρος καὶ ἄλλοι ποιηταὶ ἱςοροῦσιν· ἐπεὶ δὲ ἤρξαντο χωρὶς ἄθλων ἀγωνίζεσθαι, τοὺς νικήσαντας οἱ μὲν κατὰ Φιλίαν ἢ συγγένειαν προςήκοντες ςεΦάνοις ἀνέδουν· τῶν δ' ἄλλων οἱ μὲν σύνεγγυς καθήμενοι καὶ περιουσιάζοντες πλέονος ἄξια ἐπετίθεσαν· οἱ δὲ πορρώτερον ἄνθεσι καὶ Φύλλοις ἔβαλλον περιερχομένους· ὡς καὶ νῦν τοῖς ἐπιΦανῶς ἀγωνισαμένοις ἐπιβάλλουσι πετάσους καὶ ζώνας, οἱ δὲ χιτῶνας. Ἐκ τούτου σύνηθες ἐγένετο κύκλῳ περιπορευομένους τοὺς ἀθλητὰς περιαγείρειν καὶ λαμβάνειν τὰ διδόμενα. ὅθεν Σιμωνίδης περὶ Ἀςύλου Φησὶν οὕτως· Τίς δὴ τῶν νῦν τοσάςδε πετάλοισι μύρτων ἢ ςεΦάνοισι ῥόδων ἀνεδήσατο νίκας ἐν ἀγῶνι περικτιόνων; Ἔνιοι δὲ τοῦτο τὸ ἔθος ἀπὸ Θησέως τὴν ἀρχὴν λαβεῖν· ἐκεῖνον γὰρ ἐκ Κρήτης κομισθέντα μετὰ τὸ ἀνελεῖν τὸν Μινώταυρον οἱ ἀπὸ τῆς χώρας ἄνθεσι καὶ Φύλλοις ἔβαλλον καὶ τοῖς παροῦσι καρποῖς ἐτίμων [1]).

περιαγές· ἐπικαμπές.

περιαγκώνισμα· [2]).

περιαλγής· ὡς πενήρης τῷ τόνῳ· καὶ τοῦ δράματος τοῦ Πλατωνικοῦ [3]).

περιαγοραῖος· λάλος [4]).

περιαθρεῖν· περισκοπεῖν [5]).

---

[1]) Codex νικηΦόροι περιαγόμενοι — περισιάζοντες — ἐπαγείρειν καὶ λ. Adnotatio est Boethi et pertinet non ad Plat. Rep. V sed X extr. Cf. Ruhnk. Tim. 216. Boethus sua inveuit apud Pamphilum qui laudabat Eratosthenem, cf. Schol. Eur. Hec. 569. Vide Eratosth. post. Herodt. Didotii p. 203, Aelium Dionysium apud Eustath. p. 1430. 37, Lex. rhet. Bekk. p. 331, 14. De Astylo Rutgers. ad Afric. Olymp. p. 32. Cf. Cobet. Mnem. IX. 431. XI. 388. — Pind. Pyth. IX. extr. Periit verbum apud Dionys. Halicarn. II. 19: περιάγουσιν ἀνὰ τὴν πόλιν οὗτοι μητραγυρτοῦντες· malim περιαγείρουσιν. In versu Simonidis malim ἀγῶσι.

[2]) In Codice semiversus vacuus.

[3]) De hoc loco vide Dobr. in Adv. et Thes. VI. 783 D. Quod scripsi, Porsoni est, Codex: ὁ σπενήρης. Cobet. Plat. Com. Rel. p. 166: Περιάλγης· ὡς πενθήρης τῷ τόνῳ· ὄνομα κύριον τοῦ δρ. τοῦ Πλ.

[4]) Hesych. Bernhardyus mavult περιαγόραιος.

[5]) Hesych. Cf. Plat. Axioch. 370 D.

περίαλλος· τὸ ἰσχίον [1]).
περιαμησάμενος· θερίσας [2]).
περιάοιδος· ἐγκύκλιος ᾠδή [3]).
περιαυθαδίζεται· ἐν ὑπερηφανίᾳ ἀνασρέφεται· ἢ μέγα φρονεῖ περὶ ἑαυτοῦ [4]).
περιαυτά πως· οἷον ἐγγὺς καὶ παρὰ μικρόν [5]).
περιαυτίζεται· περὶ ἑαυτοῦ μέγα φρονεῖ ἢ ἐν αὐτῇ τῇ λέξει ἐνδιατρίβει [6]).
περιαυτολογεῖν· περὶ ἑαυτοῦ λέγειν τουτέςι μετὰ ὑπερηφανίας.
περίβαλε· οἷον περίλαβε· καὶ κατὰ τὸ ἐναντίον λέγουσι· σπανίως δέ.
περιβάλλων· περιλαμβάνων [7]).
περίβαρα· ὑποδήματα [8]).
περιβαρίδες· ὑποδήματα γυναικῶν [9]).
περίβλεπτος· ἔξοχος, μέγισος [10]).
περιγηθής· περιχαρής [11]).
περιγράψαι· οἷον ἀποκτεῖναι, ἐπεὶ οἱ ἀποθανόντες περιγράφονται καὶ περιαιροῦνται τῶν ἀρχείων [12]).
περιγίνεται· περιττεύει· Ἀρισοφάνης [13]).
περιγυρίδα· περιφέρειαν [14]).
περιδαρδάπτεσθαι· κατεσθίεσθαι [15]).
περιδόσθαι· τὸ συνθέσθαι· καὶ Ὅμηρος· Εἰ δ' ἄγε νῦν τρίποδος περιδώμεθον [16]).

---

[1]) Codex περίαλος. Cf. Hesychium.
[2]) Hesychius.
[3]) Hesychius.
[4]) Hesychius.
[5]) Sic Codex. Quo glossa referenda sit nescio.
[6]) Cf. Hesychium. Vide quoque Thes. VI. 789 D.
[7]) Cf. M. Schmidt. ad Hesych. v. περιβάλλειν.
[8]) Hesychius. Poll. VII. 94.
[9]) Hes. E Cephisodoro ap. Poll. VII. 87. Cod. fortasse γυναικεῖα.
[10]) Hesychius.
[11]) Hesychius.
[12]) Convenit Lex. rhet. Bekk. p. 295. 28.
[13]) Cf. Hesychium qui omittit Aristoph. nomen. Plut. 554.
[14]) Hesychius. Cf. Hemst. Aristoph. Plut. 376.
[15]) Hesychius.
[16]) Codex περιδεδόσθαι. Corr. Cobet. ex Arist. Eq. 791. Homeri locus est in Iliad. ψ. 485.

περιδεής· περίφοβος [1]).
περίδειπνον· ἡ ἐπὶ τοῖς ἀποθανοῦσιν ἑςίασις γινομένη [2]).
περιδέραια· περιτραχήλια κόσμια [3]).
περίδινον· πειρατήν [4]).
περιδράττεσθαι· περιέχεσθαι.
περιδύεται· κρύπτεται, εἰσδύεται [5]).
περιδοῦ· σύνθου· λέγουσι δὲ καὶ περὶ συνθήκης· οὕτως Δίφιλος [6]).
περιεῖχεν· ὑπερεῖχεν [7]).
περιιλάμενος· περιειλησάμενος [8]).
περιεκόκκασα· περιεγέλασα καὶ κατωρχησάμην· Ἀριςοφάνης [9]).
περιεκτικόν· περιέχον [10]).
περιέπειν· φυλάσσειν ἢ ἐνεργεῖν.
περιεπτισμένον· λελεπισμένον, περιεξεσμένον, περικεκαθαρμένον [11]).
περιερέττων· κωπηλατῶν [12]).
περιεργάζεσθαι· ἀντὶ τοῦ πολυπραγμονεῖν.
περιέσεσθαι· περιγενήσεσθαι.
περίςια· καθάρσια [13]).
περιεσκεμμένος· ἠκριβωμένος [14]).
περιεσόμεθα· περιγενησόμεθα.
περιέςηκεν· περιίςαται, περιέςραπται [15]).

---

[1]) Hesychius.
[2]) Lex. rhet. Bekk. p. 294. 22.
[3]) Hesychius. Legitur in Aristoph. fragmt. 309.
[4]) Codex περιδήλιον. Hesych. Respicitur ut videtur Plat. Legg. VI. 777 D ubi vide Schol. Cf. Athen. VI. 264 F.
[5]) Hesychius.
[6]) Hesychius. Cf. Arist. Nub. 644.
[7]) Cobet. coni. περρεῖχεν· περιεῖχεν. Cf. Hesych. v. περρέχειν et Ahrens. Dial. Aeol. p. 151.
[8]) Codex περιειλάμενος. Correxit Cobet. Var. Lect. p. 361. Mnem. V. 202. Arist. Ran. 1066 perperam: περιιλλόμενος.
[9]) Nempe Arist. Eq. 697 ubi olim περιεκόκκυσα.
[10]) Hesychius.
[11]) Cf. Hesychium. Arist. Acharn. 507 legitur περιεπτισμένοι.
[12]) Hesychius.
[13]) Codex περίεσι· καθαρά. Corr. Toupius. Cf. Thes. VI. 940 D. Infra vide gl. περιςίαρχος.
[14]) Hesychius.
[15]) Fortasse e Thuc. I. 32. Pro περιίςαται malim περιέςαται.

περιέστιξαν· περιεκύκλωσαν [1]).
περιεστήξει· περιστάθήσεται [2]).
περιέχεσθαι· ἀντέχεσθαι [3]).
περιεχόμενον· ἀντιποιούμενον [4]).
περιήγγελλεν· ἐκέλευεν [5]).
περιῆλθεν· ἐξηπάτησεν [6]).
περιῆν· ἐνίκα, περιεγίνετο, ὑπῆρχεν [7]).
περιήγητος· ὁ περιπόρφυρος χιτών [8]).
περιηχήθην· περιεψιθυρίσθην [9]).
περίθετος κεφαλή· ἡ περιθέτη. Ἀριστοφάνης· κεφαλὴ περίθετος ἣν ἐγὼ νύκτωρ φορῶ [10]).
Περιθοῖδαι· δῆμος τῆς Οἰνηΐδος φυλῆς· ἀπὸ Πειρίθου τοῦ Ἰξίονος· νόμος δ' ἦν Ἀθήνησι ξένους εἰσδέχεσθαι τοὺς βουλομένους τῶν Ἑλλήνων, Θεσσαλοὺς δ' ἐξαιρέτως ὑπεδέχοντο διὰ τὴν Πειρίθου καὶ Θησέως φιλοξενίαν· τούτοις δὲ καὶ χώραν ἐμέρισαν, ἣν ἐκάλεσαν Περιθοΐδας· Ἔφορος ἱστορεῖ ἐν γ' [11]).
περιθρέξει· περιδραμεῖ [12]).
περιθειῶσαι· περικαθᾶραι [13]).
περιθυρεῖν· περὶ θύρας εἶναι.
περιιόντα· περιερχόμενον [14]).
περιιππεύων· περιτρέχων [15]).

---

[1]) Codex περιέστηξαν. Correxit Cobet. Conferri iubeo Herodt. IV. 202.
[2]) Hesychius.
[3]) Conf. Herodt. I. 71.
[4]) Conf. Herodt. III. 53.
[5]) Cobetus παρήγγελλεν. Dubito.
[6]) Conf. Herodt. III. 4.
[7]) Cf. Hesychium.
[8]) Codex περιήτητος. Recte Hesychius. Usurpavit Antiphanes apud Poll. VII. 57.
[9]) Hesychius.
[10]) Arist. Thesm. 258.
[11]) Brevius Harpocr. Cf. Prolegg. p. 108.
[12]) Arist. Ran. 194.
[13]) Hesych. Cf. Menandrum apud Clem. Alex. Strom. p. 844.
[14]) Hesychius περιιόντας.
[15]) Hesychius περιιππεύοντας.

περιιςάμενος· φεύγων [1]).

περὶ κάτω τραπήσεται· ἀντὶ τοῦ περιτραπήσεται κάτω συνήθως λέγουσιν [2]).

περικόπται· κλῶπες [3]).

περικεφαλαία· ἡ ἐκ τῶν τριχῶν (περιθετή) [4]).

περικνύων· περιξύων.

περικωνῆσαι· σπογγίσαι [5]).

περικόρημα· τὸ περισάρωμα· κόρημα γὰρ λέγεται τὸ σάρον· ἀφ' οὗ καὶ νεωκόρος, ὁ τὸν ναὸν κορῶν καὶ σαρῶν [6]).

περίνησα· περιβόλαια περιφερῆ καὶ νησοειδῆ, ὅμοια ταῖς ὑπὸ Ῥωμαίων καλουμέναις χλαίναις· Μένανδρος Βοιωτίᾳ· Πεντεκτένους μὲν καὶ περίνησα πορφυρᾶ [7]).

περίνεως· ὁ δεύτερος ἱςὸς καὶ πάντα τὰ περιττά [8]).

περινοεῖ· νοεῖ περιττῶς [9]).

περίνεως· τοὺς περιττοὺς καὶ ἔξω τῶν ὑπηρεσιῶν, ὡς λιπόνεως τοὺς λιποτάκτας· Θουκυδίδης [10]).

περίνοια· ὑπερηφανία ἢ μηχανὴ ἢ τέχνη [11]).

περινομαί· περιχωρίαι· Ἦσαν περινομαὶ τῇ θεῷ· Μένανδρος [12]).

περινοςοῦντας· περιερχομένους [13]).

περίοδος· περιέλευσις, κύκλος [14]).

---

[1]) Cf. Cobet. Mnem. VIII. 52.

[2]) Cf. Cobet. Var. Lect. p. 90 et Mnem. XI. 174.

[3]) Hesychius.

[4]) Supplevi locum ex Hes. em. a Dind. in Thes. VI. 844 B.

[5]) Codex περικονῆσαι· περισπογγῆσαι. In interpretatione praepositio solemni vitio iterata. Photium cum Hesychio contulit Cobetus sed non tulit assensum M. Schmidtii. Respicitur credo Aristoph. Vesp. 600.

[6]) Convenit Lex. rhet. Bekk. p. 296. 27. Codex νεακόρος.

[7]) Cf. Hesychium et Poll. VII. 52.

[8]) Cf. Hesychium e Photio emendatum.

[9]) Hesychius.

[10]) Codex λειπόνεως et λειποτάκτας. Respicitur Thuc. I. 10.

[11]) Brevius Hesychius.

[12]) Albertus περιχορεῖαι scribit: Hesych. exp. περιφοραί. Dubius haereo quid probem. Cf. Thes. VI. 870 D.

[13]) Hesychius περινοςήσαντες et περινοςοῦντι.

[14]) Alia Hesychius.

περιοίκιον· ὁ περὶ τὴν πόλιν ἢ ὁ περὶ τὴν ἔπαυλιν τόπος [1]).
περιοίσειν· τὸ περιέσεσθαι καὶ ἀνθέξειν· Θουκυδίδης ζ'· σημαίνει καὶ τὸ ἀνοίσειν ἐκ τῆς νόσου [2]).
περιοιστικός· ὁ Φορητός.
περιόν· ὑπερβάλλον.
περὶ ὄνου σκιᾶς· παροιμία ἐπὶ τῶν ἐνδιατριβόντων τοῖς μηδενὸς ἀξίοις [3]).
περίοπτον· περιθέατον, μέγα, ὑψηλόν [4]).
περιορᾶσθαι· καραδοκεῖν, ἀποθεωρεῖν, περισκέπτεσθαι, Φροντίζειν· Θουκυδίδης· καὶ τοὺς Μεγαρέας περιορωμένους ποτέρων ἔσται ἡ νίκη· καὶ πάλιν περιορωμένους τὸν πόλεμον λέγει· καὶ ὁ Βρασίδας τῆς Μένδης περιορώμενος [5]).
περιοργῶς· ἄγαν παρωρμημένος [6]).
περιοργής· ὡς περιχαρής· ἐν δ' Θουκυδίδης εἴρηκεν· ὀργιζόμενος [7]).
περιορίσαι· περινοῆσαι [8]).
περιορισθῆναι· γνωρισθῆναι ἢ ὑπὸ ὅρον γενέσθαι [9]).
περιορισμός· ἐξορισμός.
περιοχή· περιπέτεια καὶ ὑπόθεσις, θλίψις, συνοχή [10]).
περιόψεται· παρίδῃ, καταφρονήσει [11]).

---

[1]) Hesychius. Cf. Harpocr. qui ex Isaeo laudat.
[2]) Thucyd. VII. 28. Alteram partem adnotationis quae ad Thucydidem non pertinet, vide quoque apud Hesychium.
[3]) Plura de hoc proverbio in voce ὄνου σκιά.
[4]) Cf. Hesychium.
[5]) Thuc. IV. 73 legitur ὁποτέρων. Secundum locum nondum inveni. Tertius legitur IV. 124.
[6]) Codex περιόργως et sic quoque Hesych. Fortasse ex Aesch. Agam. 215.
[7]) Thucyd. IV. 130. Codex περιεργής.
[8]) Hesychius.
[9]) Cf. Hesychium. Malim certe ὑπὲρ ὅρον et pro γνωρισθῆναι arridet ὑπερορισθῆναι, quod si verum est in superiore glossa non περινοῆσαι legerim sed ὑπερορίσαι.
[10]) Partim glossa sacra videtur: explicatio certe ὑπόθεσις referenda ad Act. Apost. 8. 32. Quod sequitur θλίψις, συνοχή, contulerim cum II. Regg. 33. 14. Cf. Hesych. et Ernest. Gloss. Sacr. Hesych. et Suid.
[11]) Hesychius. Vide apud Arist. Nub. 125.

περιπαθῶς· συμπαθῶς, λυπηρῶς [1]).
περιπείρει· περικεντεῖ [2]).
περιπέτεια· προπέτεια ἢ σύμπτωμα ἢ σύμβασις [3]).
περιπετῆ γενέσθαι· περιπεπτωκέναι [4]).
περίπλεον· πλήρη.
περὶ πλήθουσαν ἀγοράν· περὶ ὥραν τετάρτην ἢ πέμπτην ἢ ἕκτην· τότε γὰρ μάλιςα πληθύει ἡ ἀγορά [5]).
περὶ πόδα· οἷον ἁρμόττον σφόδρα ὡς τὰ ὑποδήματα τοῖς ποσί· Πλάτων· Ὡς ἔςι μοι τὸ χρῆμα τοῦτο περὶ πόδα· καὶ ἐν Σκευαῖς· Καὶ τοῖς τρόποις ἁρμόττον ὥσπερ περὶ πόδα [6]).
περιποιήσει· κτήσεται.
περιποίησιν· κτῆσιν [7]).
περίπολος· οἱ ἔφηβοι περίπολοι τῆς χώρας καὶ φύλακες ἐγένοντο, προγυμναζόμενοι εἰς τὰ πολέμια [8]).
περὶ πολλοῦ ποιοῦ· τίμα, θεράπευε [9]).
περιπολῶν· περιτρέχων.
περιπτώσεις· συμφοράς.
περίπυςον· ἐξάκουςον, διαβόητον.
περιρρηδεῖς· οἱ ἐπὶ ὀχημάτων ἢ οἱ ἐπικείμενοι ἢ οἱ ἐρριμμένοι [10]).
περισσά· τὰ ἐν τῇ ἀριθμητικῇ καλούμενα ἄζυγα· οἷον ἕν, τρία καὶ τὰ ὅμοια· ἄρτια δὲ τὰ ζυγά· οἷον δύο, τέσσαρες.
περίσημα· διαβόητα [11]).
περισκελές· σκληρόν, δυσχερές [12]).
περισκεπές· κεκαλυμμένον.

---

[1]) Hesychius.
[2]) Hesychius περιπείρη.
[3]) Cf. Hesychium qui omittit προπέτεια, quam ob rem διττογραφίαν crediderim.
[4]) Nota Arrian. Anab. IV. 8. 16.
[5]) Legitur Xen. Anab. II. 1. 7. Plura servavit Phryn. Bekk. p. 54. 7. Codex καὶ ἕκτην.
[6]) Cf. Hesychium et Pollucem II. 196.
[7]) Hesychius περιποίησις.
[8]) Plura Hatpocration.
[9]) Hesychius.
[10]) Cf. Hesych. et Erotian. Cogitavit grammaticus de vocabulo ῥέδιον· hinc οἱ ἐπὶ ὀχημάτων, quod quam absonum sit vides.
[11]) Hesychius περίσημον.
[12]) Hesychius.

περισκυθίζοντος· ἐκδερματίζοντος [1]).
περισπᾶν· ἐξαπατᾶν καὶ τὸ μετὰ βίας ἀφαιρεῖσθαί τι.
περισπώμενος· ἐμπαιζόμενος, ἐξαπατώμενος.
περισοβεῖν· περιφέρειν· Εὐριπίδης [2]).
περισσοεπῆσαι· περισσολογῆσαι.
περίϛενος· οὗτος δράκων καλεῖται.
περιϛερόν· ἀρσενικῶς· Φερεκράτης [3]).
περιϛέριον· τὸ περιϛερίδιον· ἐϛὶ δὲ κοσμάριόν τι [4]).
περιϛίξαι· περικυκλῶσαι, περιελθεῖν, περιελάσαι· ἀπὸ τοῦ ϛίχους [5]).
περιϛίαρχος· ὁ περικαθαίρων τὴν ἑϛίαν καὶ τὴν ἐκκλησίαν καὶ τὴν πόλιν, ἀπὸ τῆς ἑϛίας ἢ τοῦ περιϛείχειν· Ἴϛρος δὲ ἐν τοῖς Ἀττικοῖς περίϛιά φησι προσαγορεύεται τὰ καθάρσια· καὶ οἱ τὰ ἱερὰ καθαίροντες περιϛίαρχοι· ἔξωθεν γὰρ περιέρχονται χοιροφοροῦντες, ἑκάϛου τῶν ἱερῶν οἰκίαις περιειλημμένου δημοσίαις καὶ περίδρομον ἔχοντες [6]).
περιϛοιχίζεται· περιαιρεῖ, λαμβάνει· ἀπὸ μεταφορᾶς τῶν κυνηγῶν οἵτινες ϛοίχους περιβάλλουσιν τοῖς ὄρεσι· ϛοῖχοι δ' εἰσὶν αἱ λεγόμεναι ϛάλικες [7]).
περιϛοιχίσαντος· περιλαβόντος [8]).
περιϛολή· περιβολή, ἐπαγωγή [9]).
περίϛῳον· περίϛυλον ϛοὰς ἔχον [10]).

---

[1]) Codex περισκυτίζοντος.

[2]) Codex περισο. Correxit Schleusnerus. Non ipse Euripides dixit περισοβεῖν sed Pamphilus eum laudarat in disputatione de hoc verbo; planissime hoc conficitur ex Athen. XI. 504 A. Cf. Hesychium et Prolegg. p. 52.

[3]) Vide locum Pherecratis apud Athen. IX. 395 B, quem nullus dubito Pamphilum sequi.

[4]) Codex περιϛέριον et περιϛερνίδιον. Cf. Hesychium et Poll. V. 101.

[5]) Cf. Hesych. et supra περιέϛιξαν. Retulerim ad Herodt. IV. 2.

[6]) Pauca supersunt apud Hesychium. Adnotationem refero ad Arist. Eccl. 128.

[7]) Haec plenius quam in Lex. rhet. Bekk. p. 288. 23. Vide quoque Harp. Respicitur Dem. Philipp. I. § 9. Codex περιαίρει.

[8]) Hesychius. M. Schmidt. laudat e Polyb. VIII. 5. 2.

[9]) Hesychius.

[10]) Cf. Hesychium. Poll. I. 78.

περισφάτως ἔχων· περιωδύνως [1]).
περισχέσθαι· ἀγαπῆσαι [2]).
περισχιδεῖς· οἰκετικὸν ὑπόδημα [3]).
περισχών· κατασχών, περιβαλών [4]).
περιτεύξεται· συντύχῃ, περιπεσεῖται [5]).
περιτροπῇ· ἐν περιόδῳ [6]).
περιτρόχαλα κείρονται· Ἡρόδοτος [7]).
περιττότης· δύο σημαίνει ἡ λέξις τό τε ὑπερβάλλον οἷον· εἰς περιττότητά σε φιλῶ· καὶ τὸ μὴ ἀναγκαῖον ἀλλ' ἄχρηστον [8]).
περιτυλίξας· περιειλήσας.
περιφερές· κύκλῳ στρογγύλον [9]).
περιφοιτῶντα· περιερχόμενα [10]).
περιφορά· κίνησις [11]).
περιφρονεῖν· ὑπερφρονεῖν [12]).
περιχάρειαν· περιττὴν χαράν [13]).
περιχλαινίζεται· περιβάλλεται [14]).
περίχολος· ὑπέρχολος.
περίψημα· κατάμαγμα ἢ ὑπὸ τὰ ἴχνη ἢ ἀπολύτρωσις· οὕτως ἐπέλεγον τῷ κατ' ἐνιαυτὸν ἐμβαλλομένῳ τῇ θαλάσσῃ νεανίᾳ ἐπ' ἀπαλλαγῇ τῶν συνεχόντων κακῶν· περίψημα ἡμῶν γενοῦ· ἤτοι σωτηρία καὶ ἀπολύτρωσις· καὶ οὕτως ἐνέβαλον τῇ θαλάσσῃ, ὡσανεὶ τῷ Ποσειδῶνι θυσίαν ἀποτιννύντες [15]).

---

[1]) Hesychius omittit ἔχων.
[2]) Hesychius.
[3]) Codex περισχιδές· οἰκτικόν. Cf. Hesychium.
[4]) Aliter interpretatur Hesychius.
[5]) Hesychius.
[6]) Cf. Herodt. II. 168.
[7]) Herodt. III. 8.
[8]) Similiter Lex. rhet. Bekk. p. 296. 24.
[9]) Hesychius.
[10]) Hesychius exp. περιερχόμενον.
[11]) Hesychius.
[12]) Respicitur Arist. Nub. 225. Cf. Hesychium.
[13]) Plat. Legg. V. 732 C.
[14]) Hesych. habet περιχλανίζεται et exp. καλλωπίζεται, nempe τῇ χλανίδι quod intelligo, sed nemo καλλωπίζεται τῇ χλαίνῃ.
[15]) Codex κάταγμα. Cf. Hesychium. Vocabulo usus est Pau-

περιψῆν· διὰ τοῦ η, οὐ περιψᾶν[1]).

περιωδυνίαν· ἀλγηδονίαν καὶ περιττὴν ὀδύνην[2]).

περιωπή· καὶ πισύνη· καὶ πύςις· πάντα ταῦτα γλωττώδη παρὰ Θουκυδίδῃ· καλεῖ δὲ περιωπὴν τὴν Φροντίδα καὶ τὴν περίσκεψιν, οὐ τὸν τόπον ὡς Ὅμηρος[3]).

περιώσας· ὠθήσας[4]).

πέρπερος· ὁ μετὰ βλακείας ἐπηρμένος· οἷον, λάλος, προπετής, μηδὲν λογισμῷ ποιῶν[5]).

Περσέα καὶ Θησέα καὶ Αἰγέα καὶ Ἀχιλλέα· καὶ τῶν ὁμοίων πάντων ἐκτείνουσι τὸ α τὸ τελευταῖον καὶ ἐπὶ τῆς αἰτιατικῆς πτώσεως[6]).

Περσικαί· καὶ περιβαρίδες· ὑποδημάτων εἴδη[7]).

πέσημα· πτῶμα[8]).

πεσκέων· δερμάτων[9]).

πεσσεύων· μετατίθησι τὴν γνώμην ἐπὶ τὸ κρεῖσσον, ἀπὸ τῶν πεσσῶν[10]).

πεσσοί· αἱ παιδιαὶ ἀπὸ τῶν πεσσῶν, οἵπερ εἰσὶν ἀςράγαλοι[11]).

πέταυρα· τίγνα[12]).

πέταχνον· ποτήριον ἐκπέταλον[13]).

πεταχνοῦνται· ἐξυπτιοῦνται, τρυφῶσιν[14]).

---

lus Apostolus in priore Epist. ad Cor. IV. 13, neque tamen sacram glossam putaverim, nam hae exilius scriptae sunt. Ubi et quando mos invaluerit de quo hic Photius, nescio.

1) Vide Arist. Eq. 909.

2) Plat. Legg. V. 732 C.

3) Thucydides IV. 86. V. 14. I. 136.

4) Hesychius.

5) Brevius Hesychius.

6) Cf. Piers. Moer. p. 192. Porson. Eur. Med. 870.

7) Codex περσικά. Cf. Hesychium. Ex Arist. Nub. 151.

8) Hesychius.

9) Hesychius.

10) Apud Hesychium glossa est πεσσεύων μετατίθεσο.

11) Convenit Lex. rhet. Bekk. p. 295. 1, sed habet ὅπερ ἐςὶν ἀςράγαλος.

12) Hesychius. Cf. infra v. πέτευρον. Codex σίγνα.

13) Hesychius. v. πέτακνον. Cf. Athen. XI. 496 A et Alexin apud Athen. III. 125 F.

14) Aristophanis locum servavit Athen. II.

πέτευρον· πᾶν τὸ μακρὸν καὶ ὑπόπλατυ καὶ μετέωρον ξύλον· Ἀριστοφάνης ἐν τῷ ε [1]).

πετρόβλητον· τὸ ὑπὸ πέτρας τιτρωσκόμενον· καὶ πετροβλήτους νεφροὺς τοὺς ὑπὸ λίθων βαλλομένους καὶ πάσχοντας [2]).

πεττεύει· μεταφέρει· ἀπὸ τῶν πεττῶν, τουτέστι τῶν κύβων [3]).

πεττεύουσι· ταβλίζουσι [4]).

πεττοί· βόλια ἐν οἷς ταβλίζουσιν [5]).

πευθῆνες· ἐπήκοοι [6]).

πεφασμένον· εἰρημένον ἢ πεφανερωμένον [7]).

πεφενάκικεν· ἠπάτησεν [8]).

πέφηνας· τὸ εἴρηκας· Μένανδρος [9]).

πέφηνεν· ἐφανερώθη [10]).

πεφρασμένος· παρεσκευασμένος εἰς τὸ φρασθῆναι, προσεκτικὴν ἔχων διάνοιαν· Αἰσχύλος [11]).

πεφοριῶσθαι· πεπαχύνθαι τὸ δέρμα τοῦ ὀφθαλμοῦ· κατ' ἔνδειαν δὲ πρόκειται τοῦ ν· φορίνιον γὰρ λέγεται τὸ παχυνθὲν δέρμα τοῦ ὀφθαλμοῦ [12]).

πέφυκεν· φύσει ὑπάρχει [13]).

πεφυκώς· φύσει ὑπάρχων [14]).

---

1) Quia video viros doctos fuisse qui hoc minus intelligerent, addo hoc velle Photium, Aristophanem dixisse *πέτευρον* non *πέταυρον*. Cf. Hesych. et Poll. X. 156.

2) Rectene *νεφρούς*? An *νεβρούς*?

3) Cf. Hesychium. Tim. et Schol. Plat. Legg. VII. 820 C.

4) Hesychius exp. *κυβεύουσιν*.

5) Hesychius.

6) Vocabulum novicium videtur.

7) Hesychius. Cf. Harpocrationem.

8) Hesychius. E Demosth. Olynth. II. § 7.

9) Vix credam.

10) Hesychius.

11) Hesychius habet *προσακτικήν* et omittit *Αἰσχύλος*.

12) Breviter Lex. rhet. Bekk. p. 293. 20, explicatius Harpocration qui Lysiam laudat. Verba *κατ' ἔνδειαν δ. π. τ. ν.* non intelligo: hoc video, agi de scriptura *πεφορινῶσθαι*, de qua vide Harpocrationem.

13) Hesychius.

14) Hesychius.

πεφυσιγγωμένοι· οἷον ἐσκοροδισμένοι· φύσιγγες γὰρ αἱ τῶν σκορόδων ἐντεριῶναι [1]).
πεφώραται· πεφανέρωται, εὕρηται.
πεφορημένα· ἐνηνεγμένα [2]).
πηδάλια· οἴακες, αὐχένες [3]).
πηκτίς· πανδούριον ἤτοι Λύδιον ὄργανον, χωρὶς πλήκτρου ψαλλόμενον [4]).
πηκτὸς θάνατος· ὁ τοῦ Αἴαντος· περιεπάγη γὰρ τῷ ξίφει [5]).
Πηλέως μάχαιρα· παροιμία· ταύτην ἀναγράφει καὶ Ἀριστοφάνης οὕτως· μέγα φρονεῖ μᾶλλον ἢ Πηλεὺς ἐν τῇ μαχαίρᾳ· ἐδόκει σωφροσύνης γέρας Ἡφαιστότευκτος ἣν εἰλήφει μάχαιραν ὁ Πηλεύς· λαμβάνεται δὲ ἐπὶ τῶν σπανίων καὶ τιμιωτάτων κτημάτων· διὰ γὰρ σωφροσύνης ὑπερβολὴν παρὰ θεῶν λαβεῖν φασὶ τὸν Πηλέα ξίφος, Ἡφαίστου κατασκευάσαντος [6]).
πήλασθαι· κληρώσασθαι.
πηλαμύς· διὰ τοῦ υ [7]).
πηλὸς οὗτος· ἀντὶ τοῦ ἀναίσθητος εἰς ὑπερβολήν.
πήλυξ· ῥαγάς [8]).
[8] E Pausania, cf. Eust. p. 1025. 38. Vide quoque Hesych. et Phryn. Bekk. p. 61. 18. Praestat πρῴ scribere.

πρωϊαίτερον· θᾶττον ἢ ἀντὶ τοῦ πρὸ τοῦ ἀνατεῖλαι τὸν ἥλιον.
πρῷα· οὐ πρώϊμα· καὶ δισυλλάβως πρῷα [1]).
πρωΐαν· οὐ λέγουσι καθ' ἑαυτὸ ἀλλ' ἐν συντάξει δείλην πρωΐαν· τὸ πρῶτον τῆς δείλης μέρος· καὶ δείλην ὀψίαν· τὸ περὶ ἡλίου δυσμάς.
πρωΐ· ταχέως, πρὸ ὥρας.
πρωκτὸς λουτροῦ περιγίνη· παροιμία ὅταν τις μὴ δύνηται ἀπονίψασθαι ἀλλ' ἡ κοιλία ἐπιφέρηται· ἐπὶ τῶν ἀνωφελῶν οὖν καὶ εἰκῇ πραττομένων ἐλέγετο [2]).
πρωτόλειον· ἀπαρχήν [3]).
πρωτόλεια· τὰ ἀπάργματα τῆς λείας ἃ τοῖς θεοῖς ἀνετίθεσαν ἢ αἱ τῶν καρπῶν ἀπαρχαί, οἷον πρωτολήϊα.
πρῶτον ξύλον· πρῶτον βάθρον ἢ προεδρία [4]).
πρωτοπραξία· τὸ πρῶτον ἀπαιτούμενον, εἰσπραττόμενον [5]).
πρωτόνεῳ· οἱ πρῶτον πλέοντες ἢ πρῶτον εἴς τινα τόπον καταπεπλευκότες.
πρωτόνεως καὶ ἀρχένεως καὶ ἄλλα πολλὰ ὁμοίως· καὶ περίνεως Θουκυδίδης α' [6]).
πτακίδες· δειλοί [7]).
πτακίς· δειλός, ὁ ἐπτηχώς [8]).
πτακωρεῖν· πτήσσειν, δεδοικέναι [9]).
πτακίδες· δειλοί [10]).
πτέον· διὰ τοῦ ε λέγουσιν, οὐ πτύον [11]).
πτέρνη, οὐ πτέρνα.

---

[1]) Codex δισυλλάβως πρωΐ. Corr. Cobet. Cf. Phryn. Bekk. p. 61. 17. Πρῷα legitur Arist. Vesp. 264, vide Mnem. VIII. 64.
[2]) Arist. Vesp. 604, ubi vide Schol. Hesych. et Intt. ad App. Provv. 361.
[3]) Hesychius.
[4]) Arist. Acharn. 25. Cf. Poll. IV. 121.
[5]) Hesychius.
[6]) Thucydides I. 10. Codex ἀρχαίνεως.
[7]) Codex δεσμοί. Vocabulum comicum, cf. Hesych. et Poll. III. 136.
[8]) Codex ὀπτικώς. Correxit Cobet. Mnem. VIII. 64.
[9]) Hesychius.
[10]) Codex πτεκάδες. Idem supra iam habuimus.
[11]) Ex Aelio Dionysio, cf. Eust. p. 948. 10. Cf. Poll. I. 245. X. 128.

πτερνίδες· τὰ πυθμένια τῶν λεκανίων [1]).
πτερνίζει· ἀπατᾷ ἢ λακτίζει [2]).
πτεροφόρους· πτερὰ εἰώθασιν ἔχειν ἐν ταῖς περικεφαλαίαις οἱ στρατιῶται παρὰ τοὺς λόφους [3]).
πτέρυγας· τὰ πηδάλια· Σοφοκλῆς [4]).
πτερυγίζων· πετόμενος [5]).
πτερυγίζειν· ἀντὶ τοῦ μηδὲν ἀνύειν, ἀπὸ τῶν ἐπιβαλλομένων πέτεσθαι νεοσσῶν· Ἀριστοφάνης Πλούτῳ [6]).
πτήσσει· πτοεῖται [7]).
πτίλον· πτερὸν ἁπαλώτερον [8]).
πτισάνη· κεκομμένη κριθὴ καθαρά.
πτίσαι· κόψαι [9]).
πτοίαν· πτόησιν, θόρυβον, τάραχον, συναθροισμόν, πτυρμόν [10]).
πτόλισμα· πόλις.
πτόρθους καὶ κλῶνας· τὰς ἐκφύσεις τῶν δένδρων· οἱ δ' Ἀττικοὶ πρέμνα καὶ κλάδους καλοῦσιν [11]).
πύκτης· παγκρατιαστής, ἀθλητής [12]).
πτυκτίον· βιβλίον [13]).
πτύσχλοι· ὑποδημάτιόν τι· καὶ κατ' ἀφαίρεσιν τοῦ σ πτύχλοι [14]).
πτυχαί· αἱ τῶν ὀρῶν ἀποκλίσεις καὶ τὰ διάφορα τῆς ἀσπίδος ἐπ' ἀλλήλοις ἐλάσματα [15]).

---

[1]) Ex Aelio Dionysio, cf. Eust. p. 870. 27. Hesych. Poll. II. 197. IV. 182 qui ex Alexide affert.
[2]) Paulo plura Hesychius.
[3]) Similia Hesychius.
[4]) Plura Hesychius.
[5]) Aristoph. Eq. 522.
[6]) Arist. Plut. 574. Cf. Hesych.
[7]) Arist. Vesp. 1490.
[8]) Cf. Hesychium v. πτίλα.
[9]) Hesychius.
[10]) Cf. Hesychium et Erotianum.
[11]) Respicitur Plato Protagor. 334 B.
[12]) Codex πτύκτης. Infra recte suo loco.
[13]) Hesychius.
[14]) Hesych. πτύοχλον, sed verum est ἔπτυσχλον, cf. Hemst. ad Hesych. et Cobet. Mnemos. VIII. 65. Phryn. Bekk. p. 16. 11. Codex καὶ omittit.
[15]) Cf. Hesychium v. πτύχες.

πτῶμα· σῶμα.

πύανοι· κύαμοι· ἀφ' ὧν Πυανόψια [1]).

Πυανόψια· ἑορτὴ Ἀθήνησιν Ἀπόλλωνος· ὠνομάσθη δὲ καὶ διὰ τὸ ἑψόμενον ἔτνος τῶν κυάμων· τὸ γὰρ ἔτνος καὶ τὴν ἀθάραν πύανα καλοῦσιν· ἀφ' οὗ καὶ μὴν ἐςι Πυανεψιὼν λεγόμενος [2]).

Πυανεψιών· μὴν Ἀθήνησι δ', ἐν ᾧ καὶ τὰ πύανα ἕψεται εἰς τιμὴν τοῦ Ἀπόλλωνος· πύανα δὲ πάντα τὰ ἀπὸ γῆς ἐδώδιμα ὀσπριώδη, ἃ συνάγοντες ἕψουσιν ἐν χύτραις, ἀθήραν ποιοῦντες [3]).

πύγαργος· ἀετοῦ γένος [4]).

πυγαῖα· τὰς σπείρας τῶν κιόνων καὶ τοῦ σώματος ἡμῶν τὰ κατὰ τὸ ἱερὸν ὀςοῦν [5]).

πυγμή· πάλη, σύγκλεισις δακτύλων, γρόνθος [6]).

πυγοςόλος· μαυλίςρια [7]).

πυγών· τὸ ἀπὸ τοῦ ὀλεκράνου πρὸς τὸν κόνδυλον τοῦ μικροῦ δακτύλου [8]).

πυδαρίζειν· σκιρτᾶν καὶ οἷον μετὰ τάχους σπαράττεσθαι [9]).

πυελίς· ὁ σφραγιδοφύλαξ [10]).

πύελος· ὄρυγμα, ἐμβατή, ἔνθα ἀπολούονται [11]).

Πύθια· πανήγυρις, ἑορτὴ Ἑλληνική [12]).

πύθη· ἀντὶ τοῦ ἰσορήσῃς καὶ μάθῃς· ὅτε δὲ ἀντὶ τοῦ ἀκούειν [13]).

---

[1]) Cf. Hesychium. Poll. VI. 61.

[2]) Plura Pausanias apud Eust. p. 1283. 6. Cf. Harpocr.

[3]) Breviter Lex. rhet. Bekk. p. 297. 15.

[4]) Hesychius. Plura in Etym. M. p. 695. 43.

[5]) Hesychius. Cf. Poll. II. 183.

[6]) Similiter Hesychius. Poll. II. 158. Cf. Hultsch. Metrol. p. 35.

[7]) Cf. Etym. M. p. 695. 31. Ex Hesiod. Op. 371.

[8]) Similiter Hesychius. Poll. II. 158. Cf. Hultsch. Metrol. p. 35.

[9]) Cf. Hesychium. Etym. M. p. 696. 3. Schol. Arist. Eq. 697. Vides σπαράττεσθαι corruptum esse. An ἀρραβάττειν? Cf. Pausaniam apud Eust. p. 1853. 60 et Phot. v. ῥαβάττειν.

[10]) Lex. rhet. Bekk. p. 295. 10. Cf. Hesych. et Harp. qui ex Aristophane affert.

[11]) Cf. Hesychium. Poll. X. 63. Phryn. Bekk. p. 60. 6.

[12]) Hesychius. Codex πυθεία.

[13]) Codex ἱςορήσεις. Cf. infra glossam πυνθάνεσθαι.

Πύθιον· ἱερὸν Ἀπόλλωνος Ἀθήνησιν ὑπὸ Πεισιστράτου γεγονός, εἰς ὃ τοὺς τρίποδας ἐτίθεσαν οἱ τῷ κυκλίῳ χορῷ νικήσαντες τὰ Θαργήλια [1]).

Πύθιος· ἑορτὴ Ἀθήνησιν ἀγομένη Ἀπόλλωνι, ἀπὸ τοῦ Πυθῶνος.

Πύθια καὶ Δήλια· φασὶ Πολυκράτην τὸν Σάμου τύραννον Πύθια καὶ Δήλια ποιήσαντα ἅμα ἐν Δήλῳ πέμψαι εἰς θεοῦ χρησόμενον εἰ τὰ τῆς θυσίας ἄγει κατὰ τὸν ὡρισμένον χρόνον· τὴν δὲ Πυθίαν ἀνελεῖν· ταῦτά σοι Πύθια καὶ Δήλια, βουλομένην δηλοῦν ὅτι ἔσχατα· μετ' ὀλίγον γὰρ χρόνον αὐτὸν ἀπολέσθαι συνέβη· Ἐπίκουρος δ' ἔν τινι τῶν πρὸς Ἰδομενέα ἐπιστολῶν ταῦτα [2]).

πυθόληπτος· ὑπὸ τοῦ Πυθίου ληφθείς [3]).

πυθοῦ χελιδόνος· παροιμία ἀπὸ τινὸς Χελιδόνος θεολόγου ἀνδρὸς καὶ τερατοσκόπου καὶ περὶ τελετῶν διειλεγμένου, ὡς Μνασέας ὁ Πατρεὺς ἐν τῷ περίπλῳ· οἱ δὲ ὅτι θρηνητικὸν τὸ ζῷον· οἱ δὲ ὅτι τὸ ἔαρ προσημαίνει [4]).

Πυθῶδε ὁδός· παροιμία ἐπὶ τῶν ἀεὶ ταὐτὰ πρασσόντων ὡς καὶ Διὸς Κόρινθος [5]).

πύθω· σήπω· καὶ τὸ πυθόμενος· σηπόμενος· ἔνθεν καὶ ἡ Πυθία διὰ τὸ ἐν ἐκείνῳ τῷ τόπῳ σαπῆναι τὸ τοῦ δράκοντος σῶμα· Λύκος δὲ ὁ Νεαπολίτης καὶ τὸ πύον ἐντεῦθεν ὀνομασθῆναί φησιν· ἐστὶ γὰρ σεσηπὸς αἷμα.

πυκάζεται· σκεπάζεται, κοσμεῖται [6]).

πυκνί· ἡ ἐκκλησία τῶν Ἀθηναίων οὕτως λέγεται· παρὰ τὸ πεπυκνῶσθαι τοὺς συνερχομένους ἐν αὐτῇ [7]).

πυκασμός· δασύτης [8]).

---

[1]) Thucydides II. 15.

[2]) Plura Zenob. 515 qui Menandrum laudat. Alia Lex. rhet. Bekk. p. 299. 8. Codex ποιήσαντες — χρησόμενον εἶτα.

[3]) Hinc supple Hesychium.

[4]) Hesychius cfdus. et App. Provv. 363. Proverbium usurpavit Aristophanes. Mnaseae fragmentum vide apud Mehlerum p. 118.

[5]) Codex ἐπὶ τῶν τὰ τοιαῦτα πρ. et ὡς πρὸς Δ. Locus plenius servatus est in v. ὑπέρου περιτροπή. Cf. Hesychium et Diogenianum 234.

[6]) Cf. in App. gl. sacr. πυκάζει et πυκάζουσι.

[7]) Codex πυκνή. Cf. Harpocr. Lobeck. Paral. p. 320.

[8]) Gl. XII Proph. p. Cyr. Voss. interpr. σκεπασμός.

πυκτεύειν· εἶδος γυμνασίου καὶ παλαίςρας.

πύκτης· παγκρατιαςής, ἀθλητής.

πυλαγόρος· ὁ πεμπόμενος ἐκ τῶν πόλεων εἰς τὴν Ἀμφικτυονίαν ῥήτωρ ὥςε ἐκεῖ ἀγορεῦσαι· Πυλαγόρος δὲ παρὰ τὸ ἐν τῇ Πυλαίᾳ ἀγορεύειν· Πυλαία δὲ τὸ Ἀμφικτυονικὸν συνέδριον· ἦσαν δὲ Πυλαγόροι τρεῖς [1]).

πυλαϊςάς· τοὺς μηδὲν ὑγιὲς μήτε λέγοντας μήτε πράσσοντας διὰ τὸ παραγίνεσθαι τοιούτους τινὰς ἀνθρώπους εἰς τὸν προειρημένον τόπον [2]).

Πυλάρτης· δούλου ὄνομα [3]).

πυλωρεῖ· φυλάσσει.

πύνδαξ· πυθμήν [4]).

πυνθάνεσθαι· μανθάνειν, διδάσκεσθαι, ἱςορεῖν, ἐρωτᾶν· ἢ ἕτερόν τι σημαίνει παραπλήσιον μὲν τοῦ ἐρωτᾶν, οὐ μὴν αὐτὸ τὸ ἐρωτᾶν· ἔςι γάρ τις ὡς δῆλον διαφορὰ μάλιςα παρὰ τοῖς διαλεκτικοῖς μεταξὺ πύσματος καὶ ἐρωτήματος [5]).

πυόν· τὸ πρὸ τοῦ γάλακτος ἀμελχθέν, τὸ μεταβεβληκὸς αἷμα, αὐτὸ τὸ γάλα, τὸ γαλακτῶδες ὑγρόν, γάλα νέον μετὰ χθεσινοῦ γάλακτος ἑψηθὲν ἔνιοι [6]).

πυόν· τὸ πυρίεφθον· τινὲς δὲ πᾶν γάλα νέον· ἢ ὃ ἂν μετὰ γάλακτος ἑψηθῇ χθεσινοῦ.

---

[1]) Codex εἰς τὸν πόλεμον. Porsonus εἰς τὴν Πυλαίαν· scripsi ἐκ τῶν πόλεων, coll. Lex. rhet. Bekk. p. 292. 26. Vide quoque Harpocrationem.

[2]) Codex πυλαιςάτους. Corr. Cobet. post Hemst. Vide apud Hesych. πυλαιαςάς. Vocabulum reddendum mihi videtur Dem. Olynth. II. § 19: λοιποὺς δὴ περὶ αὐτὸν εἶναι λῃςὰς καὶ κόλακας κτέ. Cf. Cobet. Mnem. VIII. 65. — Οἶδεν Πυλαία ταῦτα καὶ Τυττυγίας proverbium est apud Zenob. 436, ubi vide interpretationem.

[3]) An Ἅιδου ὄνομα?

[4]) Ex Aelio Dionysio, cf. Eustath. p. 870. 28. Poll. X. 179 et Hesych.

[5]) In Lex. rhet. Bekk. p. 297. 27 laudatur Thucydides, nempe I. 5. Cf. gl. περιωπή et πύθῃ. HSt. VI. 2290 C. Aquil. Rom. p. 152 Ruhnk. Codex διαφθορά.

[6]) Cf. Schol. Arist. Pac. 1150, Hesych. et Ael. Dion. apud Eustath. p. 1626. 5. HSt. VI. 2243. Coqui negant γάλα νέον μετὰ χθεσινοῦ γάλακτος coqui posse.

πύππαξ· ἐπίφθεγμα σχετλιασμοῦ, ὡς πένθους ἀμετάφρασον· ὡς τὸ τρισαιδέκατον [1]).

πυρακτῶν· ἐμπυρσεύων, σφοδρῶς καίων.

πυραμειδής· πυροειδής [2]).

πύραυνος· ὁ τὸ πῦρ ἐναυόμενος [3]).

πυργηρούμεθα· ἐντὸς ἐσμὲν τῶν πύργων [4]).

πυργοῦται· ὑψοῦται [5]).

πυργηρούμενοι· τὰ τείχη φυλάττοντες [6]).

πύρδανα· τὰ λείψανα [7]).

πυριάτη· θηλυκῶς, τὸ πυρίεφθον· οὐχὶ πυρίατος, οὐδὲ πυριατὴ ὀξυτόνως, οὐδὲ πυρίεφθος [8]).

πυριλαμπίς· πτηνόν τι μικρόν, ὃ ἐν τῷ σκότῳ λάμπει· καλεῖται δὲ ὑπ' ἐνίων λαμπυρίς [9]).

πυριλαμπίς· τὸ ζῷον καλεῖται ὑπὸ τῶν Ἀττικῶν οὐ λαμπυρίς [10]).

πῦρ ἐπὶ πυρί· παροιμία ἧς μέμνηται καὶ Πλάτων· κακὸν ἐπὶ κακῷ [11]).

πυρἱρραγής· σαθρός, ἄχρηστος· ἀπὸ τοῦ ἐν ταῖς καμίνοις διαρησσομένου κεράμου [12]).

---

[1]) Ad ultimum vocabulum sic Porsonus, »αι per tale fere compendium f quod nisi τῷ σ adhaereret esset καί. Legendum videtur ἰού quod in ιγ' facile mutari potuit". Vide praeterea Hes. Schol. Plat. Euthyd. 303 A. M. Schmidt. Didym. p. 54.

[2]) Sic Codex, sed ex Hesych. correxerim: πυραμίδες· πυραμοειδεῖς λαμπάδες. Et sic iam M. Schmidt.

[3]) Idem Eust. p. 1547 extr. Plura Hesych.

[4]) Euripid. Or. 762. Cf. Hesych.

[5]) Hesychius.

[6]) Aesch. Sept. 22. Corrige Hesychium.

[7]) Plura Hesychius. Suspicor πύραυνα verum esse, cf. HSt. VI. 2257 D.

[8]) Itaque recte Eubul. apud Athen. XIV. 640 C. Plura de hoc argumento congesta in Thes. VI. 2265 A.

[9]) Codex πυριλάμπη.

[10]) Cf. Thes. V. 93 C.

[11]) Nempe Legg. II. 666 A. Conveniunt Hesych. et Zenob. 469, ubi vide Intt. Gotting.

[12]) Hanc formam tuetur quoque Pollux VII. 164, laudans Cratinum et Aristoph. Acharn. 933, sed alibi legitur πυρορραγές. Cf. HSt. VI. 2275 C.

πυροὶ ἐπικάλαμοι· οἱ μήπω θερισθέντες ἢ οἱ ἐπὶ τῆς ἅλω, οἱ μήπω ἀπηλοημένοι ἀλλ' ἐν τοῖς δράγμασιν ὄντες· ἢ πυροὶ ἐπικάλαμοι λέγονται οἱ ἐπὶ τῆς αὐτῆς γῆς ἥτις οὐκ ἔσχεν ἀνάπαυμα ἐπισπαρέντες, τουτέϛιν ὅταν σῖτος ἐπὶ σίτῳ χωρὶς διαλείμματος ἐπισπαρῇ [1]).

πυρραῖς γένυσι· ξανθαῖς θριξίν [2]).

πυρόεσσαν· πυρίπνουν, πῦρ πνέουσαν [3]).

πυρπαλάμη· ὁ ταχέως τι ἐπινοῶν καὶ παλαμώμενος ἴσα πυρί [4]).

πυρπολεῖται· καίεται, ἐμπυρίζεται.

πυρρίχαις· ταῖς ἐνόπλοις ὀρχήσεσιν [5]).

πυρσεύει· πῦρ ἐξάπτει [6]).

πυρσοκόρσου λέοντος· Αἰσχύλος ἐν Κάρυξι Σατύροις [7]).

πυρσολόφους· τοὺς ἐκ παροπτηθεισῶν βυρσῶν ἱμάντας τεμνομένους· Ἀντίμαχος [8]).

πυρφόρος· πῦρ φέρων· πυρφόρους δὲ ἔλεγον τοὺς ἱερέας τοὺς ἐπιβώμιον πῦρ ἀνάπτοντας· ἐν τοῖς οὖν πολεμίοις εἰώθασι τῶν ἱερέων οἱ νενικηκότες φείδεσθαι· ἐπὶ δὲ τῶν παντελῶς ἡττηθέντων καὶ συμπατηθέντων ἐν τῷ πολέμῳ, εἰώθασιν ὑπερβολῇ χρώμενοι οὕτω λέγειν ὅτι οὕτως ἀπώλοντο ὥϛε οὐδὲ πυρφόρος, ταὐτὸν δὲ εἰπεῖν ἱερεύς, ὑπελείφθη τῷ ϛρατῷ [9]).

πύϛμα· ἐρώτημα [10]).

πύϛεις· ἐρωτήσεις [11]).

πυϛιᾶσθαι· πυνθάνεσθαι [12]).

---

[1]) Similiter Lex. rhet. Bekk. p. 291. 23. Cf. Lysiam apud Suidam v. *ἐπὶ καλάμῃ ἀροῦν*. Locum debeo Dindorfio in Thes. III. 1613 C. Adde Lex. rhet. Bekk. p. 216. 25.

[2]) Hesychius. Ex Eur. Phoen. 32 ubi *πυρσαῖς*.

[3]) Codex *ἐπίπνουν*· scripsi *πυρίπνουν* cum Kustero.

[4]) Codex *πυρπαλάμην*. Cf. Hesych. et Thes. VI. 2277 C.

[5]) Hesychius *πυρρίχας*.

[6]) Plura Hesychius.

[7]) Interpretationem ex Hes. pete. Cf. Bentl. Epist. ad Mill. 465.500.

[8]) Perperam Hesychius *πυρώλοφοι*.

[9]) Malo *πολέμοις*. Cf. Hesych. Diogen. 615. Zenob. 434. Supra *οὐδὲ πυρφόρος*.

[10]) Cf. supra gl. *πυνθάνεσθαι*.

[11]) Thucydides I. 5.

[12]) Hesychius *ἐπυϛιᾶτο*.

πίτυλος· ἡ συςροφὴ τῶν χειρῶν, ὅταν πυκνῶς ἐπιφέρηται [1]).
πίτυλος· ἡ συνεχὴς τῶν πυκτῶν κροῦσις [2]).
πυτίνη· πλεκτὴ λάγυνος. Ἀριςοφάνης [3]).
πώγωνα πυρός· τὴν ἀναφορὰν τοῦ πυρός· Εὐριπίδης Φρίξῳ [4]).
πωληταί· οὗτοι τῶν ὀφειλόντων τῷ δημοσίῳ κατὰ προθεσμίαν καὶ μὴ ἀποδιδόντων ἐπίπρασκον τὰς οὐσίας· ὑπέκειντο δὲ τοῖς πωληταῖς καὶ ὅσοι τὸ διαγραφὲν ἀργύριον ἐν πολέμῳ μὴ εἰσέφερον· ἔτι δὲ καὶ οἱ ξενίας ἁλόντες καὶ ὁ μέτοικος προςάτην οὐκ ἔχων καὶ ὁ ἀποςασίου γραφείς· τούτων γὰρ τὰς οὐσίας πωλοῦντες παρακατέβαλον εἰς τὸ δημόσιον [5]).
πωλητήριον· τὸ πρατήριον· οὕτως Ὑπερείδης [6]).
πωλοδάμνης· πωλοδαμαςής [7]).
πῶλοι· καὶ ἐπὶ βοῶν· Ἀλκαῖος ἐν Ἱερῷ γάμῳ· Ἀνδράποδα πέντε, πωλικὸν ζεῦγος βοῶν [8]).
πῶμα· τὸν πότον οὕτως λέγουσιν [9]).
πώμαλα· οἷον οὐ μάλα [10]).
πώρινον· λίθον [11]).
πωτᾶσθαι· πέτασθαι [12]).

Τέλος τοῦ Π ςοιχείου.

Ἀρχὴ σὺν θεῷ τοῦ Ρ.

Ῥαβάττειν· σοβεῖν καὶ τρέχειν καὶ συντόνως ποδοκτυπεῖν [13]).

---

1) Codex πύτυλος. Idem vitium in Hesychio.
2) Codex πύτυλος. Cf. Poll. II. 147.
3) Cf. Hesych. et Poll. VII. 174. Codex λάννος.
4) Cf. Hesych. et Poll. II. 88.
5) Cf. Harpocr. et Lex. rhet. Bekk. p. 291. 17.
6) Cf. Poll. VII. 11 et Moerid. 314.
7) Hesychius. Utitur Xen. de Re Eq. 2. 1.
8) Codex pro ἐν Ἱερῷ habet ἐνιθρῷ et pro πέντε, πέμπεται.
9) Codex τὸ πότον.
10) Codex οἴνου μᾶλα quod correxi. Cf. Harpocr. Hesychium et Lex. rhet. Bekk. p. 289. 3.
11) Hesychius.
12) Malim ποτᾶσθαι.
13) Cf. Hes. et ἀρραβάσσειν apud Paus. apud Eust. p. 1853. 60. Lex. rhet. Bekk. p. 446. 26. Codex συντόμως. Cf. Prolegom. p. 153.

ῥαβάττειν· ἀντὶ τοῦ ἄνω κάτω βαδίζειν [1]).
ῥᾶγα· ῥῶγα [2]).
ῥαγδαῖον· ἄθρουν καὶ πολύ, ἀπὸ τοῦ καταράσσειν· καὶ μεταφορικῶς ἄνθρωπον ῥαγδαῖον τὸν πολὺν καὶ ἄθρουν· καὶ ὀξὺς ἄνεμος καὶ πολύς· ῥαγδαῖος [3]).
ῥάδα· τὰ ῥόδα· ὅθεν καὶ ῥαδινή [4]).
ῥᾴδια· ὑπόδημά ποιον [5]).
ῥᾳδιουργός· οὐχ ὁ γράμματα παραποιῶν ἀλλ' ὁ κακοῦργος ἁπλῶς· καὶ ῥᾳδιουργία· ἡ περὶ πᾶν ὀλιγωρία καὶ εὐκαιρία καὶ θρασύτης· Ξενοφῶν δὲ καὶ ἐπ' εὐκολίας ἐχρήσατο τῇ λέξει [6]).
ῥαθαίνεται· ἀντὶ τοῦ σπείρεται.
ῥαθαπυγίζειν· τὸ πλατεῖ τῷ ποδὶ εἰς τὰ ἰσχία ῥαπίζειν [7]).
ῥαθασσόμενοι· ῥαινόμενοι [8]).
ῥαιβόν· σκαμβόν, καμπύλον [9]).
'Ραικούς· οἱ βάρβαροι τοὺς Ἕλληνας· Σοφοκλῆς τῇ λέξει κέχρηται [10]).
ῥαίοιτο· φθείροιτο [11]).
ῥά· ἀντὶ τοῦ δή· οὕτως Πλάτων [12]).
ῥαγδαῖος· ταχὺς ἢ σφοδρός [13])
ῥαγδαίους· κατὰ μεταφορὰν ἀπὸ τῶν ὄμβρων· τοὺς κεκινημένους καὶ σφοδροὺς καὶ βιαίους· 'Αντιφάνης 'Αγροίκοις· 'Ραγδαῖος,

---

1) Codex *ἄνω κάτω ἀντιβαδίζειν.*
2) Vide infra v. *ῥάξ.* et Hesych. Plat. Legg. VIII. 845 A.
3) Cf. Hesych. et infra, ubi comicorum loci adducuntur.
4) Nihil extundo.
5) Hesych. Poll. VII. 94 e comoedia affert.
6) Observatio Aelii Dionysii, cf. Eustath. p. 1509. 44. Ex altera recensione petitum est quod infra sequitur. Vocabulum usurpavit Xen. Mem. II. 1. 20, alibi.
7) Similiter Hesych. Poll. IX. 122. 126. Usurpavit Aristoph. Eq. 796. Vide Nauck. Aristoph. Byz. p. 164. Cobet. Mnem. IX. 165.
8) Hesych. Codex *ῥαθασσώμενοι.*
9) Similiter Hesychius. Ex Archilocho affert Polluc. II. 193. Vide de hoc loco disputationem Dindorfii in Thes. VI. 2418.
10) Eustathius p. 890. 15 invenit in veteri rhetorico lexico, barbaros dixisse *'Ραικούς*, Sophoclem *Γραικούς*. Cf. Hesychium.
11) Hesychius. E Soph. Trach. 268.
12) Merus error. cf. v. *ῥακετρίζειν.*
13) Lex. Bachm.: *ῥαγδαίου· σφοδροῦ ἢ ταχέος.*

ἄμαχος, πρᾶγμα μεῖζον ἢ δοκεῖς· Δίφιλος Πολυπράγμονι· Τί ποτ' ἐςίν; ὡς ῥαγδαῖος ἐξελήλυθεν· ἐςὶ καὶ ἐν Πρυτάνεσι Τηλεκλείδου τὸ ὄνομα, καὶ ἐν Δαιταλεῦσιν Ἀριςοφάνους [1]).

Ῥαδαμάνθυος ὅρκος· ὁ κατὰ χηνὸς ἢ κυνὸς ἢ πλατάνου ἢ κριοῦ ἤ τινος ἄλλου τοιούτου. Οἷς ἦν μέγιςος ὅρκος ἅπαντι λόγῳ κύων Ἔπειτα χήν· θεοὺς δ' ἐσίγων· Κρατῖνος Χείρωσι. τοιοῦτοι δὲ καὶ οἱ Σωκράτους ὅρκοι [2]).

ῥᾴδιον· εὐχερές.

ῥᾳδιουργός· πλαςογράφος· καὶ ὁ κακοῦργος ἁπλῶς· καὶ ῥᾳδιουργία· ἡ περὶ πᾶν ὀλιγωρία καὶ εὐκαιρία καὶ θρασύτης· Ξενοφῶν δὲ καὶ ἐπ' εὐκολίας ἐχρήσατο τῇ λέξει [3]).

ῥᾳδίως· εὐχερῶς, ταχέως [4]).

ῥάζειν καὶ ῥύζειν· τὸ ὑλακτεῖν· Ἕρμιππος Εὐρώπῃ· Ῥύζων ἅπαντας ἀπέδομαι τοὺς δακτύλους· ἀπὸ τούτου δὲ ἐπὶ τοὺς πικραινομένους καὶ σκαιολογοῦντας μετηνέχθη· Κρατῖνος Δηλιάσιν· Ἵνα σιωπῇ τῆς τέχνης ῥάζωσι τὸν λοιπὸν χρόνον· καὶ ἑξῆς· Ἔρραζε πρὸς τὴν γῆν· ὁ δ' ἠσκάριζε κἀπεπόρδει [5]).

ῥᾳθυμία· ἀμέλεια [6]).

ῥαῖσας· ὑγιάνας [7]).

ῥᾳθυμεῖν· οὐχ ὡς ἡμεῖς φαμὲν τὸ τοῖς Ἀφροδισίοις σχολάζειν, ἀλλ' ἁπλῶς τὸ ἀργεῖν καὶ τρυφᾶν, παρὰ τὸ τὰ ῥᾷςα τῷ θυμῷ διδόναι [8]).

ῥαχετρίζειν· τὸ εἰς τὴν ῥάχιν παίειν· οὕτως Πλάτων [9]).

---

[1]) Codex μεῖζον εἰ — πολυπραγμονεῖ.

[2]) Eadem Schol. Plat. Apolog. 21 E. Cf. Zenob. 581. Hes. et Schol. Arist. Av. 521. Codex θεοῖς δὲ σιγῶν.

[3]) Conf. supra. Videatur quoque Hesych.

[4]) Hesychius.

[5]) Codex ῥυζὸν ἅπαντας — ὁ δὲ σκαρίζει κατέπαρδε. Conf. Meinek. Fragmt. Com. Gr. II. 33. Cobet. Mnem. VIII. 48. Vide quae Eust. p. 1792. 22 laudat e rhetorico lexico. Cratini fragmenta nondum persanata sunt. An respicit et ridet Soph. Ai. 299?

[6]) Utrumque coniungit Dem. Philipp. III. § 5.

[7]) Hesychius. E Dem. Olynth. I. § 13. Cf. Harpocr.

[8]) Brevius Lex. rhet. Bekk. p. 300. 8.

[9]) Codex ῥακετρίζειν. Cf. Poll. II. 136. Plato intelligitur Comicus, ut vides.

ῥαχίζειν· τὸ διαιρεῖν τὰ μέρη τῆς ῥάχεως ἤτοι διακόπτειν, ὥς φησι παρ' Εὐριπίδῃ [1]).

ῥάκιον καὶ ῥάκος· ἄμφω λέγουσιν.

Ῥακίδαι· δῆμος Ἀκαμαντίδος.

ῥακτρίαι· ῥαβδία μικρὰ οἷς τοὺς καρποὺς ἀπαράσσουσι [2]).

ῥάμνος· φυτὸν ὃ ἐν τοῖς Χουσὶν ὡς ἀλεξιφάρμακον ἐμασῶντο ἕωθεν· καὶ πίττῃ ἐχρίοντο τὰ σώματα· ἀμίαντος γὰρ αὕτη· διὸ καὶ ἐν ταῖς γενέσεσι τῶν παιδίων χρίουσι τὰς οἰκίας εἰς ἀπέλασιν τῶν δαιμόνων [3]).

Ῥαμνουσία Νέμεσις· αὕτη πρῶτον ἀφίδρυτο ἐν Ἀφροδίτης σχήματι· διὸ καὶ κλάδον εἶχε μηλέας· ἱδρύσατο δ' αὐτὴν Ἐρεχθεὺς μητέρα ἑαυτοῦ οὖσαν, ὀνομαζομένην δὲ Νέμεσιν καὶ βασιλεύσασαν ἐν τῷ τόπῳ· τὸ δ' ἄγαλμα Φειδίας ἐποίησεν, οὗ τὴν ἐπιγραφὴν ἐχαρίσατο Ἀγορακρίτῳ τῷ Παρίῳ ἐρωμένῳ, ὃς καὶ Ὀλυμπίασι τῷ δακτύλῳ τοῦ Διὸς ἐπέγραψε· Παντάρκης καλός· ἦν δὲ οὗτος Ἀργεῖος, ἐρώμενος αὐτοῦ [4]).

ῥάμφος· ῥύγχος ὄρνιθος [5]).

ῥαμφάξει· ῥύγχῳ ὠθήσει [6]).

ῥάξ· θηλυκῶς ἡ ῥάξ· ὁ δὲ ῥώξ καὶ βαρβαρισμὸς καὶ σολοικισμός [7]).

ῥάξαι· ἀντὶ τοῦ καταβαλεῖν· οὕτως Ἀπολλόδωρος [8]).

ῥάξας· τὸ δὲ ῥήξας οὐκ Ἀττικόν· καὶ παρὰ τοῖς δικανικοῖς ἐστὶν ἡ χρῆσις.

---

[1]) Codex ῥακχίζειν. Postrema corrupta sunt. Cf. Hesychium et infra ῥαχίζειν et ῥαχίζων. Itidem M. Schmidt. Didym. p. 99. 269, qui coniicit ὥς φησι παρ' Εὐριπίδῃ Δίδυμος, quod multis nominibus displicet.

[2]) Codex ῥάκτρια· ῥαιδία· μικρά· τοὺς καρποὺς ἀπαράσσουσα. Cf. Hesych. Poll. VII. 146. X. 130. HSt. VI. 2335 B.

[3]) Breviter Hesychius. Codex πίττην.

[4]) Breviter Hesych. De Agoracrito idem tradit Zenob. 482 secundum Antigonum Carystium. Pausanias Agoracritum memorat IX. 34. 1, Pantarcem V. 11. 3; VI. 10. 2, sed Eleum fuisse dicit. Codex μηλαίας — ἐπέγραψεν ἀοτάρχης· καλὸς δὲ ἦν.

[5]) Hesychius.

[6]) Codex ῥυγχωθήσει. Corr. Cobet. Cf. Hesych.

[7]) Observatio Aelii Dionysii, vide Eustath. p. 1485. 59. Convenit Phryn. Ecl. 26.

[8]) Antiatt. Bekk. p. 113. 12 laudat Dem. Conon. § 8.

ῥᾷον· εὐχερές, εὔκολον.
ῥαπίσαι· πατάξαι τὴν γνάθον ἁπλῇ τῇ χειρί, ὃ λέγουσι καὶ ἐπὶ κόρρης [1]).
Ῥάρ· Τριπτολέμου πατήρ [2]).
ῥάρον· ἰσχυρόν [3]).
ῥᾷστα· ῥᾳδίως, εὐχερῶς [4]).
ῥαστώνη· ἀνάπαυσις, τέρψις, τρυφή, εὐκολία, ῥᾳθυμία, ἡδυπάθεια, χαυνότης, ἀργία· εἴρηται καὶ ῥαστωνεύειν ἐν τῷ λη' Δίωνος Ῥωμαϊκῶν [5]).
ῥάφανον· τὴν ῥαφανῖδα· Ἐπίχαρμος [6]).
ῥάφανος· κράμβη· ῥαφανὶς δέ, ἣν ἡμεῖς ῥάφανον [7]).
ῥάττει· ἐπιφώνημα χαιρόντων καὶ ὑπορχουμένων [8]).
ῥᾷον ἄν τις τοὺς ὀδόντας ἠρίθμησεν ἢ τοὺς δακτύλους [9]).
ῥαχάδας· τὰ δενδρώδη χωρία [10]).
ῥάχετρον· τὸ ὄπισθεν τοῦ τραχήλου, ἀφ' οὗ ἡ ἀρχὴ τῆς ῥάχεως· Δίδυμος δὲ πλευρόν [11]).
ῥαχθέντος· ῥαγέντος [12]).
ῥαχίαν· οἱ Ἀττικοὶ τὴν ἀκτήν, καὶ τὸν τόπον αὐτὸν ᾧ προσαράττει τὸ κῦμα· καὶ Θουκυδίδης οὕτως· οἱ δὲ Ἴωνες τὴν ἄμπωτιν καὶ τὴν ἀναχώρησιν τῆς θαλάσσης [13]).

---

[1]) Lex. rhet. Bekk. p. 300. 10 ubi male ἀπλείστῳ χειρί. Cf. Hes.
[2]) Hesychius Ῥᾶρος.
[3]) Hesych. Grammaticorum locos vide in Thes. VI. 2342 C.
[4]) Cf. Hesychium.
[5]) Alia Hesych. Breviter Lex. rhet. Bekk. p. 300. 14. Dionis locus est 38. 39.
[6]) Cf. Tryphonem apud Hesychium. Videatur Velsenus p. 88.
[7]) Cf. Poll. I. 247.
[8]) Malim ῥυππαπαί, vide infra.
[9]) Fragmentum est Lysiae ex oratione πρὸς Αἰσχίνην, cf. Athen. XIII. 612 C, ubi eiice ὅσῳ ἐλάττους ἦσαν et τῆς χειρός. Cf. Plat. Euthyd. 294 B. Arist. Plut. 1057. Philetaerus apud Athen. XIII. 587 F. Martial. I. 20. Similis est glossa παρέλαβε τὴν πόλιν. Vid. Observ. meas Crit. in Platonem, 1864 p. 72.
[10]) Cf. Hesychium v. ῥαχάς.
[11]) Codex ῥάχετον. Cf. Hesych. et Poll. II. 136. M. Schmidt. Didym. p. 41.
[12]) Hesychius exp. σπαραχθέντος.
[13]) Corrigit Dobraeus: οἱ δὲ Ἴωνες τὴν πλήμμην· ἄμπωτιν δὲ

ῥαχίζειν· τὸ ἀλαζονεύεσθαι· καὶ ῥαχιςής· ὁ ἀλαζών· Θεόπομπος Παμφίλῃ· Τούτων ἁπάντων ὁ ῥαχιςὴς Δημοφῶν[1]).
ῥαχίζων· διακόπτων· καὶ τοὺς κακούργους ῥαχιςάς[2]).
ῥαχιςής· ὁ διατέμνων.
ῥάχοι· οἱ μυρικίναι ῥάβδοι[3]).
ῥάχοισιν ὀρχάδος ςέγης· Σοφοκλῆς δὲ τοὺς φραγμοὺς τῆς ποίμνης.
ῥάχους· τὰς ἀκανθώδεις καὶ τραχείας ῥάβδους λέγουσι[4]).
ῥαψῳδοί· τὸ δ' ἔμπροσθεν ἀρνῳδοί ἐκαλοῦντο, ἐπάθλου αὐτοῖς ὄντος ἀρνός.
ῥαψῳδὸς κύων· ἡ Σφίγξ· οὕτως Σοφοκλῆς[5]).
ῥάψαι· συνθεῖναι[6]).
ῥαψῴδημα· ψεῦσμα[7]).
ῥαψῳδοί· οἱ τὰ Ὁμήρου ἔπη ἐν τοῖς θεάτροις ἀπαγγέλλοντες, οἳ ἐκλήθησαν οὕτως ἐπεὶ ῥάβδους ἔχοντες ἀπήγγελλον· ῥαψῳδῆσαι δέ ἐςι τὸ φλυαρῆσαι ἢ τὸ ἁπλῶς λαλεῖν καὶ ἀπαγγεῖλαι χωρὶς ἔργου τινός[8]).
ῥαψῳδία· φλυαρία, λόγων συναφή, ἀδολεσχία[9]).
ῥᾴων· εὐθυμότερος καὶ ἀπήμων.
Ῥέας πόντος· ὁ Βόσπορος· ἢ ὅτι καὶ Ἀδρίας καλεῖται ἀπὸ τοῦ εἰσβάλλοντος ποταμοῦ Ἀδρίου[10]).
ῥέθος· πρόσωπον, ἐρύθημα, μέλος, σπλάγχνον[11]).
Ῥῖπαι· ὄρη Σκυθικά, ὅθεν ὁ Βορρᾶς πνεῖ[12]).

τὴν ἀ. Idem error in Lex. rhet. Bekk. p. 388. 8. Thucydidis locus est IV. 10. Cf. rhetoricum lexicon apud Eust. p. 1540. 27.

1) Vide supra.

2) Soph. Ai. 56. Redde vocabulum Polybio XIII. 6. 4 ubi παρασχίςαι.

3) Plura Hesychius.

4) Cf. Hesychium. Idem Eust. p. 1540. 27 tradit, e rhetorico lexico ut videtur.

5) Soph. Oed. Reg. 391. Cf. Hes. M. Schmidt. Didym. p. 98.

6) Hesychius.

7) Hesychius.

8) Codex ἁπλῶς λαβεῖν. Conveniunt Schol. Plat. Ion. 530 A et Lex. rhet. Bekk. p. 300. 3.

9) Cf. Hesychium.

10) Cf. Hesychium et App. Provv. 365.

11) Similiter Hesychius.

12) Codex Ῥεῖπαι. Hesych. Cf. Schol. Soph. Oed. Col. 1248.

Ῥειτά· ἐν Ἐλευσῖνι δύο ναμάτια φερόμενα ἐκ μιᾶς πηγῆς καλούμενα Ῥειτά· οὕτως Σοφοκλῆς [1]).
Ῥειτῶν τόπος· ἱερῶν ῥευμάτων [2]).
ῥέκος· ζῶμα, ζώνη [3]).
ῥελατόρια· ἀνάφορα [4]).
ῥέμει· πειρᾷ, ὀδυνᾷ, σήπει [5]).
ῥέξαι· ποιῆσαι, πρᾶξαι· Ἀθηναῖοι δὲ θῦσαι, παρ' Ἐπιχάρμῳ τὸ βλάψαι [6]).
ῥέπει· κλίνει [7]).
ῥερυθμῶσθαι· ἐσχηματίσθαι, συγκεκρίσθαι [8]).
ῥεῦμον· βρέφος νεογνόν [9]).
Ῥηγίνους· τοὺς δειλούς. Ξέναρχος γὰρ ὁ Σώφρονος τοῦ μιμογράφου υἱός, ἐκωμῴδει τοὺς Ῥηγίνους ὡς δειλούς, ὑπὸ Διονυσίου τοῦ τυράννου πεισθείς [10]).
Ῥηγίνου δειλότερος· [11])....
ῥῆγμα· ἡ κατὰ μῆκος τοῦ τραύματος οὐλή [12]).
ῥήγνυται· διαιρεῖται καὶ διακόπτεται [13]).
ῥῆμα· οὐ μόνον ἐπὶ μιᾶς λέξεως λέγουσιν, ἀλλὰ καὶ ἐπὶ πλειόνων.
ῥηξίφλοια· ῥήξαντα τὸν φλοῦν [14]).
ῥήσεις· λόγοι [15]).
ῥῆσις· δημηγορία καὶ συμβουλὴ καὶ ὅλως ὁ τοῦ ῥήτορος λόγος· οὕτως Ἀριστοφάνης [16]).

---

1) Cf. M. Schmidt. ad Hesych. et Thes. VI. 2558 D.
2) Ellendtius coniungit c. gl. sup.
3) Hesychius.
4) Codex ῥελατρεία· ἀναφορά.
5) Hesychius.
6) Breviter Hesychius.
7) Hesychius.
8) Cobetus Mnem. VIII. 66 contendit Democriteam vocem esse et scribendam ἐρρυσμῶσθαι, sed vide Anecd. Bekk. p. 1287.
9) Hesychius ῥεῦμιν, ubi vide Albert.
10) Breviter Hesych. Cf. Intt. ad Zenob. 485. Codex μηνογράφου.
11) Cf. supra λαγωὸς περὶ τῶν κρεῶν.
12) Lex. rhet. Bekk. p. 300. 7. Cf. Hesychium.
13) Hesychius.
14) Hesychius.
15) Plura Hesychius.
16) Uter Aristophanes intelligatur, non pro certo dixerim.

ῥησείδιον· λεξείδιον [1]).

ῥησικοπεῖν· δημηγορεῖν [2]).

ῥήσεις· καλεῖται τὰ ὑπὸ τῶν εἰσαγομένων προσώπων λεγόμενα· ἀναμέσον δὲ τούτων τὰ ὑπὸ τοῦ ποιητοῦ· οἷον· Τὸν δ' ἀπαμειβόμενος.

ῥῆσις· τὸ ψήφισμα· οὕτως Κράτης.

Ῥησίαρχος ὃς ἐρέει τὰ θέσφατα· παρ' Ἐπιχάρμῳ· ἤτοι παρὰ τὴν ῥῆσιν εἴρηται· ἢ ὡς Ἀσκληπιάδης ἐν ς' τραγῳδουμένων ἄριστον αὐτὸν γεγονέναι ἀλήθειαν εἰπεῖν· ἐγένετο δὲ καὶ ἕτερος [3]).

ῥησκόμενον· ἀντὶ τοῦ λεγόμενον [4]).

ῥητόν· Φανερόν.

ῥήτορα· καὶ τὴν γυναῖκα. Ἀριστοφάνης.

ῥητορικὴ γραφή· ἣν ἠγωνίζοντο οἱ ῥήτορες· οὐ γὰρ πάσας ἠγωνίζοντο τὰς δίκας τὸ παλαιὸν οἱ ῥήτορες, ἀλλ' ἐνίας· ἄλλοι δὲ ῥητορικὴν γραφὴν εἶναι λέγουσι τὴν κατὰ ῥήτορος γινομένην, γράψαντός τι ἢ εἰπόντος ἢ πράξαντος παράνομον· ὥσπερ λέγεται πρυτανικὴ γραφὴ καὶ ἡ κατὰ πρυτάνεως, καὶ ἐπιστατικὴ ἡ κατ' ἐπιστάτου [5]).

ῥήτορες· οὐχ οἱ συνήγοροι, ἀλλ' οἱ τὴν ἰδίαν γνώμην λέγοντες· καὶ τὸ παρ' Ὁμήρῳ (ῥητὴρ) οὕτως ὑπολαμβάνεται [6]).

ῥῆτραι· συνθῆκαι, λόγοι, ὁμολογίαι. Ταραντῖνοι δὲ νόμους καὶ οἷον ψηφίσματα· παρὰ Λακεδαιμονίοις ῥήτρα Λυκούργου νόμος, ὡς ἐκ χρησμοῦ τιθέμενος· οἱ δὲ ῥήτρας ὁμολογίας, οἱ δὲ συγγράμματα· καὶ ῥητροφύλακας τοὺς συγγραμματοφύλακας [7]).

ῥήτωρ· τὸ παλαιὸν ἐκαλεῖτο ὁ δήμῳ συμβουλεύων καὶ ὁ ἐν δήμῳ ἀγορεύων, εἴτε ἱκανὸς εἴη λέγειν, εἴτε καὶ ἀδύνατος, εἴτε

---

1) Hesychius ῥησίδιον. Cf. HSt. VI. 2375 A.

2) Cf. Poll. VI. 119.

3) Codex Ῥηστός· ἀρχός· ὃς αἱρέσει. Cf. Thes. VI. 2375 B. Non satisfacit M. Schmidt. ad Hesych.

4) Hesychius ῥησκομένων.

5) Codex τῶν παλαιῶν. Correxit Dobraeus. Similiter Lex. rhet. Bekk. p. 299. 21. Cf. Harpocrationem et Lexic. rhetor. p. Photium p. 677. 14.

6) Addidi ῥητήρ et correxi Cod. lect. ὑπολαμβάνει. Compone gl. ῥήτωρ infra.

7) Codex ῥῆτρα — λύτρα Λυκούργου.

καὶ ἀπὸ τοῦ βελτίςου καὶ δικαιοτάτου συμβουλεύων, εἴτε ἐπ' οἰκείοις λήμμασιν· καὶ ὁ Δημοσθένης τοῦτον καλεῖ ῥήτορα, ἐπειδὰν λέγῃ· ῥήτωρ ἡγεμὼν καὶ ςρατηγὸς ὑπὸ τούτῳ· καὶ ἑτέρωθι· ἐγὼ δὲ εἰ μὲν ὡς συμβουλεύων ὑμῖν ὅτι ἂν συμφέρειν ἡγῆται ῥήτωρ ἐςίν, οὔτε ἀρνοῦμαι οὔτε φύγοιμ' ἂν τοὔνομα τοῦτο· εἰ δὲ, οἵους ἐγὼ καὶ ὑμεῖς δὲ ὁρᾶτε, ἀπαιδεύτους καὶ ἀφ' ὑμῶν πεπλουτηκότας, οὐκ ἂν εἴην οὗτος ἐγώ. Καὶ πολλοῖς ψηφίσμασι παραγέγραπται Ῥητορικὴ ἐκ βουλῆς, (εἰ) εἰσφέρει τις γνώμην ἀλλὰ μὴ αὐτὸς ἰδίᾳ τύχῃ εἰσηγούμενος [1]).

ῥήτωρ· συνήγορος, δικολόγος· καὶ ὁ τὴν ἰδίαν ἀποφαίνων γνώμην κριτής, παρὰ Σοφοκλεῖ [2]).

ῥηχιάδαι ἢ ῥηχάδαι· οἱ τοὺς καταδίκους εἰς τὰς ῥαχίας βάλλοντες [3]).

ῥία· ἀκρωτήρια, ὄρθια καὶ τὰ εἰς θάλασσαν ἐγκείμενα [4]).

ῥιγοῖ· ψύχει, συνέχεται ὑπὸ κρύους [5]).

ῥιζοτόμοι· φαρμακεῖς, βοτανικοί [6]).

ῥικνά· ἐρρυτιδωμένα, ἀσθενῆ [7]).

ῥικνόν· καμπύλον [8]).

ῥικνός· ὁ πεφρικώς, παρὰ Σοφοκλεῖ [9]).

ῥινᾶν· ἐξαπατᾶν· οὕτως Μένανδρος [10]).

ῥικνοῦσθαι· τὸ διέλκεσθαι καὶ παντοδαπῶς διαςρέφεσθαι κατ' εἶδος· λέγεται δὲ καὶ ῥιγνοῦσθαι τὸ καμπύλον γίγνεσθαι ἀσχημόνως καὶ κατὰ συνουσίαν καὶ ὄρχησιν κάμπτοντα τὴν ὀσφύν· Σοφοκλῆς Ἰχνευταῖς [11]).

---

1) Dem. π. συντ. § 20. Mid. § 189. Nota Photium habere ἀφ' ὑμῶν πεπλουτηκότας. In fine Codex: ἀλλὰ μὴ αὐτὸς ἰδίαν τύχης ἡγούμενος, quod correxi.

2) Hesychius habet ἢ κριτής, sed omittit Sophoclis nomen. Cf. supra glossam ῥήτορες.

3) Hesychius omittit ἢ ῥηχάδαι.

4) Hesychius. Cf. Thucyd. II. 86.

5) Codex ἀπό.

6) Ita fabulam inscripsit Sophocles.

7) Codex ἐρυτιδωμένα.

8) Cf. Ruhnk. Tim. 228.

9) Cf. Hesych. ῥικνὴν ὄψιν· quae ipsa Sophoclis verba videntur.

10) Idem tradunt Aelius Dionysius et Pausanias apud Eustath. p. 1822. 43 et 998. 51 et addunt ipsa Menandri verba: ἐγὼ γ' ἐπίςαμαι ῥινᾶν.

11) Brevius Hesych. et Poll. IV. 99.

ῥιπάς· ἀνέμου συςροφήν [1]).
ῥιπίζεται· παρακαλεῖται [2]).
ῥίψασπις· δειλός [3]).
ῥινώμενος· μυκτηριζόμενος [4]).
ῥίσκος· ὁ τὰ ἀργυρώματα ἔχων καὶ τὸ πρόχειρον ἀργύριον [5]).
ῥιψάδ' ἀγείρων· [6]). * * * *
'Ρόδια· μύρα [7]).
'Ροδιακὸν καὶ 'Ροδιάς· εἶδος ἐκπώματος· οὕτως Δίφιλος [8]).
'Ροδίων χρησμός· 'Ρόδιοι τῇ Λινδίᾳ 'Αθηνᾷ θύοντες καθ' ἑκάςην ἡμέραν ἐνδιετέλουν τῷ ναῷ εὐωχούμενοι· οὐκ ἦν δὲ αὐτοῖς ἔθος ἀμίδα εἰσφέρειν . . . . . . ἀμίδα· συγκαταινέσαντος δὲ, πάλιν ἀνεπυνθάνοντο χαλκῆν ἢ ὀςρακίνην· ὁ δ' ὀργισθεὶς ἀπεφήνατο μηδετέραν· διὸ τὴν παροιμίαν τάσσεσθαι ἐπὶ τῶν περιεργότερον πυνθανομένων [9]).
'Ροδώπιδος ἀνάθημα· ἐν Δελφοῖς ὀβελίσκοι πολλοί· 'Απελλᾶς δὲ ὁ Ποντικὸς οἴεται καὶ ἐν Αἰγύπτῳ πυραμίδα, 'Ηροδότου ἐλέγχοντος τὴν δόξαν· ἦν δὲ Θρᾷσσα τὸ γένος, ἐδούλευσε δὲ σὺν Αἰσώπῳ 'Ιάδμονι Μιτυληναίῳ, ἐλυτρώσατο δ' αὐτὴν Χαράξας ὁ Σαπφοῦς ἀδελφός· ἡ δὲ Σαπφὼ Δωρίχαν αὐτὴν καλεῖ [10]).
ῥύζειν· κυρίως μὲν ἐπὶ τῶν κυνῶν, μεταφορικῶς δὲ ἐπ' ἀνθρώπων [11]).

---

1) Codex ῥίπας et συςροφή.
2) Arist. Eccl. 837. Hesych. exp. ἀνακινεῖται. Supra habuimus ἐρριπίζετο.
3) Cf. Hesychium et Poll. VI. 151.
4) Codex ῥινόμενος.
5) Poll. X. 137 ex Antiphane affert.
6) Latet Γαδείρων, scribit Bernhardyus. Haud satis evidens ea suspicio est. Equidem contulerim Pind. Pyth. IX. 104; διψάδ' ἀκειόμενον ἐγεῖραι ex emendatione Hermanni.
7) Cf. Hesychium. Vide Arist. Lysistr. 944.
8) Cf. Hesych. et Poll. VI. 96. Diphili locum servavit Athen. XI. 496 F.
9) Codex ἐδιετέλουν. Porsonus διετέλουν ἐν τ. Nullum est lacunae signum in Codice. Cf. Diogen. 704.
10) Cf. Herodt. II. 134. Apellas laudatur quoque in glossa Κυψελιδῶν ἀνάθημα. Adde Athen. XIII. 596 B. Codex ἄδμονι — ἐλυτρώσατο δ' αὐτόν.
11) Codex ῥόζειν, cf. supra ῥάζειν.

ῥοθεῖ· ὁρμεῖ [1]).
ῥόθιον· ἡ εἰρεσία· καὶ ῥοθιάζειν τὸ ἐρέσσειν συντόνως [2]).
ῥοδωνιά· ἐςὶ μὲν ὁ τῶν ῥόδων λειμών· ἄλλοι δὲ καὶ τὴν ῥοδοδάφνην οὕτω φασὶ καλεῖσθαι· ἕτεροι δὲ εἶδος ἀμπέλου φερούσης ςαφυλὴν παραπλησίαν τῷ ῥόδῳ κατὰ τὸ χρῶμα [3]).
ῥόθιον· τὸ μετὰ ψόφου κῦμα ἢ ῥεῦμα· σημαίνει καὶ τὴν εἰρεσίαν· καὶ ῥοθιάζειν τὸ ἐρέσσειν συντόνως· Ἀριςοφάνης Βαβυλωνίοις· κατάγου ῥοθιάζων φησίν· καὶ πάλιν· Ναῦς ὅταν ἐκ πιτύλων ῥοθιάζῃ σώφρονι κόσμῳ [4]).
ῥόθῳ· ὁρμῇ [5]).
ῥοιάς· Ἴωνες· ἄνευ δὲ τοῦ ι ῥόας· οὕτως Ἐπίλυκος [6]).
ῥοίβδην· ὡς ἐπὶ ῥεύματος, σφοδρῶς, φοβερῶς [7]).
ῥοίδια· ῥόας [8]).
ῥοῖζος· παρ' Ὁμήρῳ θηλυκῶς· πολλῇ δὲ ῥοίζῳ πρὸς ὄρος τρέπε [9]).
ῥομβεῖν· σφενδονᾶν.
ῥόμβον· κίνησιν ἢ κύλινδρον [10]).
ῥόμβος· ὃ ἔχουσιν οἱ ἐπιθειάζοντες ὡς τύμπανον· οὕτως Εὔπολις [11]).
ῥοπαλίζει· κινεῖ, ςρέφει ὡς ῥόπαλον [12]).
ῥοπή· κλίσις [13]).

---

[1]) Hesychius.
[2]) Codex εὐτόνως. Similiter Lex. rhet. Bekk. p. 300. 12. Cf. Harpocr. et infra.
[3]) Similiter Lex. rhet. Bekk. p. 299. 33. Cf. Harp. Schol. Theocr. XI. 10 e Cratino affert.
[4]) Codex εὐτόνως. Brevius supra.
[5]) Hesychius.
[6]) Vide Epilyci locum apud Athen. XIV. 650 E.
[7]) Codex ῥοίβδειν. Cf. Hesychium ῥυβδην.
[8]) Haec sincera forma est, cf. Athen. XIV. 651 A et Phryn. Ecl. p. 86.
[9]) Hom. Odyss. ι. 315.
[10]) Cf. Pindar. Olymp. XIII. 134 et gl. seq. Item Eust. ad Dion. Perieg. 1134.
[11]) Plura e Didymi commentariis servavit Schol. Apoll. Rhod. I. 1134 et IV. 143. Cf. Eustath. p. 1387. 47 et Etymol. M. p. 706. 30. Vide Thes. VI. 2420 B et M. Schmidt. Didym. p. 60.
[12]) Hesychius.
[13]) Hesychius.

ῥόπτρον· ῥόπαλον ἢ παγὶς ἢ τιμωρία [1]).
ῥοῦν· τὸ ἥδυσμα· Σόλων.
ῥοφήσομαι· ἀντὶ τοῦ ῥοφήσω λέγουσιν [2]).
ῥοώδης· ῥεῦμα ἔχων.
ῥυάχετον· θόρυβον [3]).
ῥυάχετον· τὸν ῥέοντα ὀχετόν.
ῥοίβδην· δαψιλῶς [4]).
ῥυγχάσαι· τὸ μυκτηρίσαι [5]).
ῥύγχος· τὸ πρόσωπον· Κρατῖνος καὶ ἕτεροι [6]).
ῥύδην· ὁρμήν [7]).
ῥύδην· σφοδρῶς καὶ ἀθρόως· οὕτως Κρατῖνος [8]).
ῥύζειν· ὑλακτεῖν [9]).
ῥύζων· πενθῶν [10]).
ῥυθμίζει· διατυποῖ, κανονίζει, εὐθύνει [11]).
ῥυθμός· τάξις ἔμμελος ἀκόλουθος ἁρμονίᾳ [12]).
ῥυμβονᾶν· διαρρίπτειν [13]).
ῥυπαίνω· ἀντὶ τοῦ ὑβρίζω· Φερεκράτης [14]).
Ῥύπες· πόλις τῶν Ὠλενίων Ἀχαιῶν· οὕτως Αἰσχύλος [15]).
ῥύπον καὶ ῥύπους· τὰ δεχόμενα τὰς σφραγῖδας· οὕτως Ἀριστοφάνης [16]).

---

1) Refero ad Eur. Hipp. 1172. Cf. Hesych. Harpocr.
2) Cf. Cobetum Mnem. V. 406.
3) Ex Arist. Lysistr. 170. Cf. Hesych.
4) Hesychius ῥύβδην. Vide supra.
5) Hesychius habet ῥυγχιάζειν.
6) Cf. Antiatt. Bekk. p. 113. 9. Athen. III. 93 D. Omnes indidem.
7) Dobraeus verum suspicatur ὁρμῇ.
8) Cf. Hesychium.
9) Cf. ῥάζειν et Hesychium.
10) Spectat Hermippi locum quem vide supra v. ῥάζειν. Cod. ῥυζ.˜ν.
11) Brevius Hesychius. Codex διατυπεῖ.
12) Similia Hesychius.
13) Respicitur Aeliani quidam locus quem servavit Eustath. ad Dion. Perieg. 1134. Cf. HSt. VI. 2437 C.
14) Alia exp. Hesych. Glossa in summa pag. a correctore antiq.
15) Cf. Hesychium v. Ῥύπας. Aeschyli versum vide apud Strab. VIII. 387. Codex ῥύπαις.
16) Arist. Lysistr. 1199. Cf. Hesych. Poll. X. 59. Phryn. Ecl. p. 58.

ῥυπᾶν· μεςὰ ῥύπου εἶναι [1]).
ῥυππαπαί· ναυτικὸν ἀναφώνημα [2]).
ῥύπτει· ἀποκλύζει, σμήχει [3]).
ῥύπτομαι· σμήχομαι [4]).
ῥυσά· ἡ μαρανσις ἡ γῆρας [5]).
ῥυσήματα. τὰ ἐπὶ τῶν ὄψεων τῶν γεγηρακότων σπιλώματα.
ῥύσια· ἐνέχυρα· καὶ ῥυσιάζεσθαι· τὸ ἐνεχυριάζειν.
ῥυσίαν· τὴν τῶν τόξων τάσιν [6]).
ῥυσίοισιν· ἑλκυςαῖς [7]).
ῥυτῆρας καὶ βρυτῆρας· τὰς ἡνίας [8]).
ῥυτά· εἶδος φιαλῶν, τάχα δὲ οἷον ῥυτίδας καὶ συναγωγὰς ἐχουσῶν [9]).
ῥυτά· πήγανα· οὕτως Κρατῖνος [10]).
ῥυτήρ· ἁπλῶς μὲν ὁ ἱμάς, κυρίως δὲ ἡνία, παρὰ τὸ ῥύεσθαι τοὺς ἵππους καὶ τοὺς ἀναβάτας ὅπερ ἐςὶ σώζειν· ἢ παρὰ τὸ ῥεύειν ὅ ἐςιν ἀνακόπτειν καὶ ἀνεγείρειν τοὺς ἵππους [11]).
ῥυτῆρες· χαλινοί, ἡνίαι, ἱμάντες [12]).
ῥυτῆρι κρούων γλουτὸν ὑπτίου ποδός· Σοφοκλῆς [13]).
ῥυτίς· ἀσθένεια.
ῥυτίσματα· αἱ ἀκέςριαι τῶν διερρυηκότων ἱματίων τὰ ἀναπληρώματα ῥυτίσματα ἐκάλουν· οὕτως Μένανδρος.
ῥυφεῖν· τὸ ῥοφεῖν· οὕτως Ἱππῶναξ [14]).

---

[1]) Usurpavit Arist. Plut. 266. Codex ῥυπά.
[2]) Hesychius. Ex Arist. Ran. 1073. Cf. Lex. rhet. Bekk. p. 446. 32.
[3]) Hesychius.
[4]) Arist. Acharn. 17.
[5]) Cf. Lobeck. Paral. p. 333.
[6]) Hesychius habet ῥυσίαν βολάν, e tragico poeta ut videtur.
[7]) Hesychius habet ῥυσίοις ἐνταφαῖς, ad quem locum vide M. Schmidt.
[8]) Codex ῥυςῆρας. Corr. Cobet. Cf. Hesychium ῥυτῆρες.
[9]) Hinc emenda Lex. rhet. Bekk. p. 299. 31. Cf. Harpocr.
[10]) Nempe ἐν Ὥραις, ut ex Harpocr. patet. Alia Hesych.
[11]) Contraxit Lex. rhet. Bekk. p. 299. 28.
[12]) Cf. Hesychium v. ῥυτήρ.
[13]) Plura servavit Hesych. q. v.
[14]) Antiatt. Bekk. p. 113. 11 laudat ex Aristophanis Pluto. Vide praeterea Eustath. p. 1430. 39.

ῥύψαι· σμῆξαι [1]).
ῥῶμα· ὅρμημα [2]).
ῥῶμα· τὴν ῥώμην· ὡς γνῶμα τὴν γνώμην [3]).
ῥωμαλέως· ἰσχυρῶς [4]).
ῥώμη· ἰσχύς [5]).
ῥώξ· κόκκος [6]).
ῥῶπος· μίγματα, χρώματα ὅσα βαφεῦσι ζωγράφοις μυρεψοῖς χρησιμεύει· ὅθεν ῥωποπώλης· ὁ μυροπώλης· τινὲς δὲ καὶ τὸν παντοδαπὸν φόρτον ῥῶπον εἰρήκασιν [7]).
ῥῶπος· μηθενὸς ἄξιον [8]).
ῥῶπος καὶ γέλγη· ὁ ποικίλος καὶ λεπτὸς φόρτος [9]).
ῥῶσαι· ῥῶξις [10]).
ῥῶσθαι· σπουδάζειν [11]).
ῥωςήριον· παρορμητήριον [12]).

Τέλος τοῦ Ρ ςοιχείου.

---

[1]) Plura Hesychius.
[2]) Hesychius.
[3]) Hesychius.
[4]) Hesychius ῥωμαλέος.
[5]) Plura Hesychius.
[6]) Suspicor sacram glossam esse ductam e Jes. Vat. 65. 8. Vocabulum certe barbarum habetur ab Atticistis, cf. Ael. Dion. apud Eustath. p. 1485. 59 coll. 1633. 45. Vide quoque Hesych. Antiatt. Bekk. p. 103. 25 et Phot. v. ῥάξ.
[7]) Ex Aelio Dionysio, cf. Eustath. p. 927. 53. Fere eadem Hesych. habet, quocum scripsi μίγματα pro μίγμα. Praeterea adi Phot. v. ἐρρωπίζομεν. Phryn. Bekk. p. 61. 31. Bentl. ad Mill. p. 499. Osann. ad Philem. p. 113.
[8]) Hesychius.
[9]) Vide supra Aelium Dionysium, Lex. rhet. Bekk. p. 299. 27 et Hesychium.
[10]) Cf. Hesychium v. ῥωςήριον.
[11]) An pro ῥώεσθαι? Cf. Hesychium.
[12]) Componendae sunt glossae Hesych. ῥωπητήριον et ῥωςήριον, sed res obscura est.

Ἀρχὴ σὺν θεῷ τοῦ Σ.

Σᾶ· περισπωμένως τὰ σῶα· εἴρηται δὲ ἐπὶ θηλυκοῦ σᾶ ἡ πόλις οἷον σῶα ἡ πόλις [1]).

σᾶ· τὰ σῶα λέγουσι μονοσυλλάβως ἀπὸ τοῦ σῶα συναιροῦντες· καὶ τὸν σῶον καὶ σῶν· καὶ σῶοι σοῖ· παρὰ δὲ Θουκυδίδῃ δισυλλάβως σῶοι [2]).

σμικρὸς ἐν σμικροῖς, μέγας δ' ἐν μεγάλοις ἔσομαι· καὶ τὸν ἀμφέποντ' ἀεὶ φρεσὶ δαίμον' ἀσκήσω· εἰ μικρὰ ἢ τὰ περὶ ἐμὲ καὶ αὐτὸς ἐκ τῆς ἀνάγκης ἔσομαι μικρός· εἰ δὲ μεγάλα, εἰκότως ἐπαρθήσομαι καὶ μεγαλοφρονήσω καὶ τὴν περιέπουσάν με τύχην οἴσω τῇ διανοίᾳ [3]).

σαβαρίχην· τὸ γυναικεῖον αἰδοῖον· Τηλεκλείδης [4]).

Σαβοὺς καὶ Σαβὰς καὶ Σαβαζίους· τοὺς βακχεύοντας τῷ Σαβαζίῳ· τὸ γὰρ σαβάζειν τῷ θεῷ τοῦτο· ὑπὸ δέ τινων ὁ Διόνυσος Σαβὸς καλεῖται [5]).

σαβύττης· ξυρήσεως εἶδος [6]).

---

[1]) Convenit Schol. Plat. Criti. 111 C ubi corrupta sunt verba χρόνος δ' οὐ πάμπολυς ὅτε δένδρων αὐτόθεν εἰς οἰκοδομήσεις τὰς μεγίστας ἐρεψίμων τμηθέντων στεγάσματ' ἐστὶν ἔτι σᾶ, de quo loco vide Ruhnk. Tim. p. 187. Equidem praetulerim στεγάσματα ἐστὶν ἃ ἔτι ἦν σᾶ. Cf. Prolegom. p. 33. Unde Boethus sua habeat, videbis in adnotatione sequenti.

[2]) Cf. Dobr. Lex. rhet. Bekk. p. 302. 20 simpliciter σᾶ· σῶα. Tenemus observationem Aelii Dionysii, teste Eustath. p. 959. 41, qui duos affert Aristophanis senarios ἡ μᾶζα γὰρ σᾶ καὶ τὰ κρέα χὠ κάραβος et οὕτω παρ' ἡμῖν ἡ πόλις μάλιστα σῶς ἂν εἴη, quos locos vides Boethum confudisse cum diceret εἴρηται δὲ ἐπὶ θηλυκοῦ σᾶ ἡ πόλις. Palam est rectissime correxisse Dobraeum καὶ σῶοι σῷ παρὰ Θουκυδίδῃ· οἱ δὲ δισυλλάβως σῶοι. Locus est in Thucyd. I. 74 med., cf. Phot. v. σῷ. Σῶν legitur Thucyd. III. 34. Vide praeterea Piers. Moer. p. 348 et Dind. ad HSt. VII. 1729. Cobet. Orat. p. 89. Mnem. IX. 394. X. 90.

[3]) Glossa in margine a manu antiqua. Verba sunt Pindar. Pyth. III. 191 sqq. Convenit Scholiasta.

[4]) Codex σαβαρίχιν. Cf. Photium post σαράβαρα et Hesych.

[5]) Plenius Harp. Post τῷ θεῷ τοῦτο quaedam deesse videntur.

[6]) Vide Hesychium v. σάβυττος qui plura habet.

σαβάξαι· διασαλεῦσαι [1]).
σάβυττος· τὸ γυναικεῖον αἰδοῖον, ἀπὸ τοῦ σάττεσθαι καὶ βύεσθαι ὡς καὶ σάθη [2]).
σάγαρις· κοπὶς ἢ πέλεκυς.
σάγδας· μύρον τι [3]).
σάγη· τὸ πλῆθος.
σάγη Φερέσβιος· τὴν πρὸς τροφῆς παρασκευὴν θύλακον [4]).
σάγη· ἡ πανοπλία· οὕτως Μένανδρος [5]).
σάγμα· τὸ τῆς ἀσπίδος ἔλυτρον [6]).
Σάγρα· *ἀντὶ τοῦ ἀλήθεια· οὕτως* Κρατῖνος [7]).
Σάγρα· *ποταμὸς ἐν* Ἰταλίᾳ· *καὶ τόπος ἀφ' οὗ ἡ παροιμία· ἀληθέστερα τῶν ἐπὶ* Σάγρᾳ [8]).
σάθων· ὑποκόρισμα παιδίων ἀρρένων· οὕτως Τηλεκλείδης [9]).
σαθρόν· οὐ σαβακὸν χρὴ λέγειν [10]).
σαικονῆσαι· ἀντὶ τοῦ κινηθῆναι· Ἀριστοφάνης [11]).

---

1) Cf. Hesychium v. *σαβάξας*.
2) Cf. Hesychium v. *σάβυττος*.
3) Hesychius praeterea habet formam *ψάγδας*. Cf. Poll. VI. 104 et plura apud Athen. XV. 690 D.
4) Glossa fortasse petita ex Jone, cf. Pollucem X. 92. Vide quoque Hesych. v. *σαγίς*.
5) Cf. Hesychium v. *σάκος*.
6) Hesych. Usnrpavit Arist. Acharn. 574. Cf. Etym. M.
7) Codex *αἱ τοῦ* | *ἀληλήθεια*. Correctum in Thes. Ea ratione usurpavit Aelian. Hist. Anim. XI. 10. Cf. Niebuhr. Hist. Rom. III. n. 906.
8) Plura e Pausania descripsit Eustath. p. 278. 3. Vide Intt. ad Zenob. 117. Suid. v. *ἀληθέστερα*.
9) Hesychius omittit Teleclidis auctoritatem.
10) Hesychius docet *σαβακὸν* Chiorum esse.
11) Cf. Hesychium *σαί· τὸ κινηθῆναι ἁπλῶς* et *σαικωνῆσαι· διασαικωνή*. Vides utramque glossam coniungendam esse sic: *σαικωνῆσαι, διασαικωνῆσαι· τὸ κινηθῆναι ἁπλῶς*. Lex. Bachm. *σαικωνίσαι* habet. Adnotat Dobraeus: forsan *σαλακωνίσαι*, memor opinor Aristoph. Vesp. 1169: *ὡδὶ προβὰς τρυφερόν τι διασαλακώνισον*. Quid hoc significet ignorabant veteres Grammatici; quae Scholiasta servavit, e Pamphili lexico magnam partem finxere, cf. Rankium de Hesych. Lex. p. 105. Legebant *διασαλακώνισον, διαλυκώνισον, διαλακώνισον*. Qui laudatur Hermippi locus foede corruptus est. Sed *σαλάκων* dicitur *ὁ προσποιούμενος*

σαίνει· κολακεύει, σείει· ὡς ἐπὶ τῶν κυνῶν σαινόντων τῇ οἰκείᾳ οὐρᾷ [1]).

σαίνουροι· τὰς οὐρὰς σείοντες [2]).

σαίρει· κοσμεῖ ἢ χαίνει [3]).

σαίρειν· οὐ σαροῦν· μᾶλλον δὲ κορεῖν λέγουσιν· καὶ ἀκόρητον τὸν ἀσάρωτον· καὶ κορηθῆναι καὶ τὸ σαροῦν κόρηθρον· καὶ κόρημα τὸ κάθαρμα [4]).

Σάκαι· ἔθνος Σκυθικόν [5]).

Σάκας· ἐπεκαλεῖτο ὁ τραγῳδοποιὸς Ἀκέσωρ, ὡς ξένος καὶ βάρβαρος· οἱ γὰρ Σάκαι Σκυθικὸν γένος [6]).

σακέλλιον· βαλάντιον [7]).

σακεσφόροι· ὁπλοφόροι, ἀσπιδηφόροι [8]).

σακεύουσι· τὸ ὑλίζουσι παρ' Ἡροδότῳ [9]).

σακυφάνται· οἱ πλέκοντες τοὺς γυργάθους ἢ τῶν λινοῦφων οἱ τοὺς σάκκους ὑφαίνοντες [10]).

πλούσιος εἶναι πένης ὤν et σαλακωνίσαι idem significat quod ἀλαζονεύεσθαι, sicut Photius infra docet. Hoc certe nunc nihil ad Aristophanem, cuius versiculus praeterea contra artem est, nam tribrachys et anapaestus insuaviter coniunguntur. Non premo suspicionem poetam dedisse διασαικώνισον, cf. Meinek. Hist. Crit. Com. p. 98.

[1]) Cf. Hesychium.

[2]) Cf. Hesych. et Eustath. p. 1821. 51.

[3]) Codex χαίρει. Cf. Schol. Plat. Rep. I. 337 A. Vide quoque Hesych.

[4]) Codex καὶ τὸ σάρον. Cf. ad Photii glossam καλλύνειν. Ἀκόρητος explicatur in Lex. rhet. Bekk. p. 365. 28 et legitur Arist. Nub. 44. Vide Piers. Moer. p. 365, alios.

[5]) Hesychius.

[6]) Arist. Av. 31. Cf. Hesych.

[7]) Hesychius σακέλιον. Glossa novicia.

[8]) Eur. Phoen. 139.

[9]) Herodt. IV. 23 cui redde sinceram formam. Eadem Antiatticista Bekk. p. 113. 32. Observatio est Aelii Dionysii, quem vide apud Eustath. p. 940. 19. Codex ηὐλίζουσι — ἡρωδότῳ. Cf. M. Schmidt. Didym. p. 52.

[10]) Codex σακηφάνται. Demosth. Olympiod. § 12 ubi perperam σακχυφάνται. Convenit Lex. rhet. Bekk. p. 302. 23 ubi nota Codicem σάκους habere, Bekkerum scripsisse σάκκους. Cf. Poll. X. 192. VII. 191. IX. 39.

σακίζειν· τὸν τρυγώδη διὰ σάκκου καὶ στρέβλης ἠθεῖν οἶνον· οὕτως Λυκόφρων [1]).

σακοδερμίτης· Σοφοκλῆς Τρωίλῳ· οἱ μὲν τὸν ὄφιν, οἱ δὲ σκώληκα τὰ δέρματα διεσθίοντα· ἄμεινον δὲ τὸν ἐπὶ τῷ δέρματι χαλκὸν ἔχοντα, παρ' ὅσον τὰ σάκη ἐπίχαλκα [2]).

σάκτρα· φορμός· ἀπὸ τοῦ σάττεσθαι· οἱ δὲ τὸν τοξικὸν κάλαμον [3]).

σάκος· οἱ Ἀττικοὶ λέγουσι διὰ τοῦ ἑνὸς κ [4]).

σακτός· ὁ τεθησαυρισμένος καὶ πολύς [5]).

σαλάμβην· Σοφοκλῆς τὴν ὀπήν [6]).

Σαλαβακχώ· πόρνης ὄνομα [7]).

σάλα· φροντίς· οὕτως Αἰσχύλος [8]).

σαλακωνία· ἀλαζονεία ὑπὲρ τὸ δέον· καὶ σαλακωνίσαι ἀλαζονεύεσθαι· σαλάκωνας δὲ ἔλεγον τοὺς ψεύστας καὶ μεγαλαύχους [9]).

σαλάκων· προσποιούμενος πλούσιος εἶναι, πένης ὤν.

σάλος· σαλευμός, τάραχος καὶ ἡ φροντίς [10]).

---

[1]) Plura Poll. VI. 18, alia Hesych. Cf. M. Schmidt. Didym. p. 51.

[2]) Cf. Hesychium v. σακκίζειν et σακκοδερμιστής, Harpocr. v. δερμηστής et Lex. rhet. Bekk. p. 240. 14. Equidem praetulerim formas δερμηστής et σακκοδερμηστής, collatis nominibus vernaculis ***schildpad***, ***schildluis***. Cf. M. Schmidtii disputationem Didym. p. 20.

[3]) Latet error, cf. Phot. v. σάμακα et Poll. X. 43. Fortasse scribendum est σάκτης, cf. Hesych. v. σάμαξ ibiq. Intt. Itidem M. Schmidt. Didym. p. 56. Codex σαίτεσθαι.

[4]) Ex Aelio Dionysio apud Eustath. p. 940. 18. Recte praecepit, cf. Arist. Acharn. 745. 822. Indidem Phrynich. p. 108. Moer. Thom. M. p. 789.

[5]) Hesychius quocum fortasse scribe πολυχρόνιος. Ex Eupolide laudat Poll. VI. 18.

[6]) Codex σαλάβην. Infra recte σαλάμβη, cf. Hesychium. Plura HSt. VII. 34 A.

[7]) Arist. Eq. 765, alibi. Plura habet Hesych.

[8]) Hesychius omittit Aeschyli nomen.

[9]) Codex ἀλαζόνας δὲ ἔλεγον· correxit Dobraeus. Praeterea videtur aliquid excidisse glossae initio, v. c. sic: ἀλαζονεία, (δαπάνη) ὑπὲρ τὸ δέον, cf. Hesych. Plura HSt. VII. 32 cuius copiis adde Schol. Plat. Rep. VI. 495 E.

[10]) Similia Hesychius. Cf. HSt. VII. 41 D.

Σαλαμίνιος· ὁ ἐκ τῆς Σαλαμινίας καλουμένης νεὼς ἐρέτης· οἱ δὲ ὅτι Σαλαμίνιοι ἀγαθοὶ ἐρέται [1]).
σαλάμβη· ὀπή, καπνοδόκη· οὕτως Σοφοκλῆς [2]).
σαμάκιον· κοσμαρίου τι γένος [3]).
σαλάκων· ἀλαζών [4]).
Σαλμυδησός· αἰγιαλὸς καὶ ποταμὸς Εὐξείνῳ πόντῳ [5]).
σαλοῦσα· φροντίζουσα· σάλα γὰρ ἡ φροντίς [6]).
σαλπίττει· ἀντὶ τοῦ σαλπίζει [7]).
σάμακα· Ἐρατοσθένης ἀπέδωκε τὸν φορμόν, ἄμεινον δὲ τὸν τοξικὸν κάλαμον· οὕτως Λύσιππος [8]).
Σάμαιναι· πλοῖα Σάμια ὑσὶν ἐμφερεῖς τὰς πρώρας ἔχοντα [9]).
σαμάκια· κοσμαρίου τι γένος τοῖς νεωτέροις [10]).
σάμβαλα· ὑποδήματα [11]).
σαμβύκη· εἶδος ὀργάνου μουσικοῦ [12]).
Σαμιακὸν τρόπον· Κρατῖνος Ἀρχιλόχοις· εἰς ὑηνίαν ἐπισκώπτων μιννύω· ὑσὶ γὰρ ἐμφερεῖς εἶχε τὰς πρώρας τὰ τῶν Σαμίων πλοῖα, ὡς Χοιρίλος ὁ Σάμιος [13]).

---

[1]) Referam ad Arist. Eccl. 38 ubi vide Schol.
[2]) Confer supra.
[3]) Codex σαλμακίον, cf. infra, Hesych. et Poll. V. 101.
[4]) Codex σαλαμός. Correxit Schleusnerus.
[5]) Sic Codex. An ἐν Εὐξείνῳ π.? Cf. Hesych. et Tzetzem ad Lycophr. 186 et 1286.
[6]) Hesychius.
[7]) Cf. Thes. VII. 43 C.
[8]) Videantur Hesych. Poll. X. 43 et Phot. supra v. σάκτρα. Lysippi nomen corruptum esse suspicatur M. Schmidt. Didym. p. 56: res non satis explorata est.
[9]) Similiter Hesychius. Cf. Photium v. Σαμιακὸν τρόπον. Codex σαμιαυσιν.
[10]) Codex σαμακιν· κομάρου κτέ. Cf. supra p. σαλάμβη.
[11]) Forma Aeolica pro σάνδαλα. Cf. Hesychium.
[12]) Cf. Hesychium et Photium v. ἰαμβύκη.
[13]) Codex εἰσυαμιαν ἐπισκώπτων μιννύω ναυσὶ cum corruptelae indicio in margine. Emendavit Dobr. qui praeterea pro μιννύω corrigit Ἀμυνίαν, sed hoc non satis certum est. Praeterea pro Χοιρίλος Codex Χοιρίλοχος. Choerilo Naekius vindicavit versiculum quem Hesych. in v. servavit. Plura Meinekius Fragmt. Com. Gr. II. 23 et M. Schmidt. Didym. p. 35 qui nunc αὐτὸς αὐτοῦ χείρων est.

Σαμικόν· ἀντὶ τοῦ Σάμιον.

Σαμίων ὁ δῆμός (ἐςιν) ὡς πολυγράμματος· Ἀριςοφάνης Βαβυλωνίοις ἐπισκώπτων τοὺς ἐςιγμένους· οἱ γὰρ Σάμιοι καταπονηθέντες ὑπὸ τῶν τυράννων σπάνει τῶν πολιτευομένων ἐπέγραψαν τοῖς δούλοις ἐκ πέντε ςατήρων τὴν ἰσοπολιτείαν, ὡς Ἀριςοτέλης ἐν τῇ Σαμίων πολιτείᾳ· ἢ ὅτι παρὰ Σαμίοις εὑρέθη πρώτοις τὰ κδ' γράμματα ὑπὸ Καλλιςράτου, ὡς Ἄνδρων ἐν Τρίποδι· τοὺς δὲ Ἀθηναίους ἔπεισε χρῆσθαι τοῖς τῶν Ἰώνων γράμμασιν Ἀρχῖνος ὁ Ἀθηναῖος ἐπ' ἄρχοντος Εὐκλείδου· τοὺς δὲ Βαβυλωνίους ἐδίδαξε διὰ Καλλιςράτου Ἀριςοφάνης ἔτεσι πρὸ τοῦ Εὐκλείδου κε' ἐπ' Εὐκλέους· περὶ δὲ τοῦ πείσαντος ἱςορεῖ Θεόπομπος· οἱ δὲ ὅτι Ἀθηναῖοι μὲν τοὺς ληφθέντας ἐν πολέμῳ Σαμίους ἔςιζον γλαυκί, Σάμιοι (δὲ τοὺς Ἀθηναίους) τῇ Σαμαίνῃ, ὅ ἐςι πλοῖον δίκροτον ὑπὸ Πολυκράτους πρῶτον παρασκευασθὲν τοῦ Σαμίων τυράννου, ὡς Λυσίμαχος ἐν β' Νόςων· τὸ δὲ πλάσμα Δούριδος· οἱ δὲ τὴν Σάμαιναν νόμισμα εἶναι [1]).

σαμφόρας· ἵππος χαρακτῆρα ἔχων ἐγκεκαυμένον σίγμα, ὡς κοππατίας καὶ βουκέφαλος [2]).

---

[1]) Codex omittit *ἐςίν*: tum *γράμμασιν ἄρχειν· οἱ δ' Ἀθηναίοις ἐπὶ ἄρχοντος — καὶ ἐπὶ Εὐκλέους — γλαυκισαμιοι τῇ σαμενῆς ἐςι ποιον*. Correxerunt Porsonus et Dobraens in Advers. In Addendis Porsonus affert Scholiastam Townl. ad Iliad. *η*. 185. Praeterea compone Hesych. et Phot. v. *τὰ Σαμίων*, ubi: *ἑλόντες γὰρ αὐτοὺς οἱ Ἀθηναῖοι τοὺς μὲν ἀπέκτειναν τοὺς δ' ἔςιξαν τῇ καλουμένῃ Σαμαίνῃ ἥ ἐςιν εἶδος πλοίου Σαμιακοῦ, ἀνθ' ὧν καὶ οἱ Σάμιοι τοὺς ἁλόντας μετὰ ταῦτα Ἀθηναίους ἔςιξαν.* Vides doctrinam prorsus contrariam, cui adstipnlatur Plutarch. Pericl. 26 quem e Duride profecisse existimo, cf. Hullemann. *τὸν μακαρίτην* p. 161, quocum supplevi *Σάμιοι (δὲ τοὺς Ἀθηναίους)*. Sed Photius nostro loco vera tradit: Athenienses inurebant *γλαῦκα*, Samii *Σάμαιναν*: hoc est naturae rei consentaneum et adeo perspicuum ut mnltum mirer Dobraeum in Adversariis ultro corrnpisse Photium ne sibi contradiceret, quasi hic locus esset unicus eius generis. Denique adi Meinekium Fragmt. Com. Gr. II. 972. Veram ut opinor Aristophanis versiculi interpretationem vide apud Hullemannum sec. Fritzschium.

[2]) Similiter Hesychius. Vide apud Arist. Nub. 122, alibi. Plura apud HSt. VII. 54 D.

σανδαλοθήκην· οὐ σανδαλιοθήκην λέγουσιν [1]).
σάνδυξ· χρῶμα κόκκινον [2]).
σανίδα· τὸ δεσμωτικὸν ξύλον [3]).
σανίδα· τὸ λεύκωμα ὅπου αἱ δίκαι λέγονται [4]).
σαννίον· τὸ αἰδοῖον, ἀντὶ τοῦ κέρκιον, παρὰ τὸ τῇ κέρκῳ σαίνειν [5]).
σανίς· καὶ ἐν ᾗ τοὺς κακούργους ἔδουν, καὶ ἐν ᾗ τὰς δίκας ἐνεχάραττον· τὸ μὲν ἐν Θεσμοφοριαζούσαις, τὸ δὲ ἐν Σφηξὶ δεδήλωται [6]).
σάννας· τὸν μωρόν· οὕτως Κρατῖνος [7]).
σάξας· ἀντὶ τοῦ ἀμάξας· οὕτως Εὔπολις [8]).
σαπέρδης· ἰχθὺς ὁ κορακῖνος [9]).
σαπρόν· οὐ τὸ μοχθηρὸν καὶ φαῦλον, ἀλλὰ τὸ παλαιόν· Εὔπολις [10]).
Σάπαι· ἔθνος Θρᾴκιον [11]).
σάρβον· τὸ γυναικεῖον αἰδοῖον οἱ κωμικοὶ καλοῦσι καὶ σάκταν καὶ σάβυττον καὶ σέλινον καὶ ταῦρον καὶ ἕτερα πολλά [12]).

---

[1]) Codex σανδανοθήκην. Correxit Dindorfius. Poll. VII. 87 e Menandro affert, cf. X. 50. 112.

[2]) Plenius Hesychius.

[3]) Arist. Thesm. 931. 940. 1124. 1165. Hesych. δῆσαι πρὸς σανίδα, emendatus a Cobet. Mnem. V. 100.

[4]) Mavult Dobraeus ἀναγράφονται vel simile quid. Cf. Arist. Vesp. 848. Similia Hesychius.

[5]) Codex σαννίονον et ἀντικέρκιον. Convenit Hesych. Eodem sensu Poll. X. 145 e Cratino laudat σαύνιον. Cf. HSt. VII. 104 B.

[6]) Idem Eustathius p. 1923. 46 laudat e rhetorico lexico. Codex σφιγξί.

[7]) Convenit Eustathius p. 777. 61. Cf. quoqne 1761. 21 et 1669. 46 unde discimus Cratinum hoc nomine risisse Theodotidem. Adde Nauck. Aristoph. Byz. p. 153 et 173.

[8]) L. Dind. ad HSt. VII. 97 D. suspicatur legendum esse: νάξας· μάξας. Codex omittit τοῦ.

[9]) Similiter Hesychius. Plura Pollux VI. 49 et Athen. III. 117. A. VII. 308 E. Alios comicorum locos vide in Thes. VII. 66 D.

[10]) Breviter Lex. rhet. Bekk. p. 305. 18. Vide quoque Phryn. Ecl. p. 166.

[11]) Hesychius. Cf. HSt. VII. 66 B.

[12]) Rectius scribes σάκαν coll. Hesych. quam σάκταν. Pro Codicis σάβυτταν scripsi σάβυττον. Talia curasse Patriarcham!

σαράβαρα· ἐσθὴς Περσική· ἔνιοι δὲ λέγουσι βρακία [1]).

σαβαρίχη· γυναικὸς αἰδοῖον [2]).

σάραπις· χιτὼν Περσικὸς μεσόλευκος [3]).

σαργάναισι· δεσμοῖς [4]).

Σαρδαναπάλους· ἐν β' Περσικῶν δύο Φησὶ γεγονέναι Καλλισθένης, ἕνα μὲν δραστήριον καὶ γενναῖον, ἄλλον δὲ μαλακόν· ἐν Νίνῳ δ' ἐπὶ τοῦ μνήματος αὐτοῦ τοῦτ' ἐπιγέγραπται· 'Ανακυνδαράξου παῖς Ταρσὸν τε καὶ 'Αγχιάλην ἔδειμεν ἡμερῇ μιῇ· ἔσθιε, πῖνε, ὄχευε, ὡς τἆλλα οὐδὲ τούτου ἐστὶν ἄξια· τουτέστιν τοῦ τῶν δακτύλων ἀποκροτήματος· τὸ γὰρ ἐφεστὼς τῷ μνήματι ἄγαλμα ὑπὲρ τῆς κεφαλῆς ἔχον τὰς χεῖρας πεποίηται, ὡς ἂν ἀποληκοῦν τοῖς δακτύλοις· ταὐτὸ καὶ ἐν 'Αγχιάλῳ τῇ πρὸς Ταρσῷ ἐπιγέγραπται, ἥτις νῦν καλεῖται Ζεφύριον [5]).

σαρδάζων· μετὰ πικρίας γελῶν [6]).

σαρδόνιος γέλως· παροιμία ἐπὶ τῶν ἐπ' ὀλέθρῳ τῷ σφῶν αὐτῶν γελώντων, ἣν Δήμων μὲν διαδοθῆναι ὅτι οἱ Σαρδόνα κατοικοῦντες αἰχμαλώτων τε τοὺς καλλίστους καὶ πρεσβυτέρους ὑπὲρ ἑβδομήκοντα ἔτη τῷ Κρόνῳ ἔθυον, γελῶντας ἕνεκα τοῦ τὸ ἔπανδρον ἐμφῆναι· Τιμαῖος δὲ τοὺς ἱκανὸν βεβιωκότας χρόνον ἐν Σαρδοῖ συνωθουμένους σχίζαις ὑπὸ τῶν υἱῶν εἰς ὃν ἔμελλον θάπτεσθαι βόθρον γελᾶν· οἱ δὲ ἀπὸ τοῦ σεσηρέναι μετ' ἀνοίας· καί Φασιν ἄλλοι τε καὶ Κλείταρχος ἐν Καρχηδόνι ἐν ταῖς μεγάλαις εὐχαῖς παῖδα ταῖς χερσὶ τοῦ Κρόνου ἐπιθέντας (ἵδρυται δὲ χαλκοῦς προβεβλημένας ἔχων τὰς χεῖρας, ὑφ' ᾧ κρίβανος·) ἔπειτα ὑποκαίειν, τὸν δὲ συνελκόμενον ὑπὸ τοῦ πυρὸς δοκεῖν γελᾶν· Σιμωνίδης δὲ τοῦ σιαλοντον 'Ηφαιστότευκτον

---

[1]) Cf. Hesych. Ex Antiphane laudat Poll. VII. 59 et X. 168.

[2]) Photius supra e Teleclide laudavit.

[3]) Addit Hesychius Ctesiae fragmentum. Adde Athen. XII. 525 C et Poll. VII. 61.

[4]) Cf. Hesychium et Lex. rhet. Bekk. p. 301. 23. Respicitur Cratinus, cuius versiculum vide apud Athen. III. 119 B, sed ibi Dind. σαργανίσιν scribit.

2) Cod. οἰκεια προσνοεῖν. Suidas οἰκία πρόσγειος quae infelix conjectura est. Veram lectionem pete e Lex. Bachm. Cf. Prolegom. p. 128.

3) Hesychius.

4) Hesychius.

5) Codex τεθημμένον· συγκεχυμένον, τετυφλωμένον. Cf. Hesych. et Tim. Respicitur Plat. Phaedr. 230 A.

6) Hesychius exponit νόμους.

7) Respici credo Arist. Av. 1691.

8) Cf. Phryn. Bekk. p. 12. 23. Codex ἀλεθόλου δ' ἡ κ.

9) Hesychius.

10) Hesychius.

11) An verum est τεθύωται· τεθυμίαται?

12) Codex τεικτούς. Corr. in Thes. VII. 1921 D. Cf. Hesych.

13) Hesychius.

14) Sunt qui referant ad Prov. Salom. XI. 27.

15) Codex Τελενίκιος ἠχώ, corr. Porson., cf. Thes. VII. 1965 C. Breviter Hesych. Laudatur Cratini fabula.

τέλεον· καὶ τὸ τέλειον· τελείους τοὺς γεγαμηκότας καλοῦσιν καὶ τελεωθῆναι· τὸ γῆμαι[1]).

τελμῖνα καλοῦσι τὸν ἐκ τῶν τελμάτων πηλόν[2]).

τελεσθῆναι· τὸ ἀναλωθῆναι[3]).

τελθεῖν· ἐν ᾠδῇ τέρπειν[4]).

τέλμα· τόπος πηλώδης ὕδωρ ἔχων[5]).

τέλματα· τὰ πηλώδη καὶ τελευταῖα τοῦ ὕδατος ἢ βάθρα· Ἰσαῖος δ' εἶπεν τὰ γεωργήσιμα χωρία[6]).

τέλος· ἀρχή, τάξις· τέλος καὶ τὸ διδόμενον τοῖς βασιλεῦσι· τέλος καὶ τὸ δαπάνημα, ὅθεν καὶ πολυτελὲς τὸ πολυανάλωτον· τέλος καὶ τὸ πέρας· καὶ ὁ γάμος, ὅθεν καὶ τὰ προτέλεια[7]).

Τελμισεῖς· οἰκοῦσιν ἐν Καρίᾳ, ἀπέχοντες ξ' ϛάδια Ἁλικαρνασσοῦ· ὡς Πολέμων· Τελμισὸς δὲ πόλις ἐν Λυκίᾳ, ἀπὸ Τελμισσοῦ τοῦ Ἀπόλλωνος καὶ μιᾶς τῶν Ἀντήνορος θυγατέρων, ᾗ ἐμίγη εἰς σκύλακα μεταβαλών· διὸ καὶ τερασκόπον αὐτὸν ἐποίησεν, ὡς Διονύσιος ἐν Κτίσεσιν[8]).

τελοῦντα· τεταγμένον[9]).

τελχῖνες· πονηροὶ δαίμονες, Φθονεροί, βάσκανοι[10]).

τελχιταίνει· ἀντερίζει, σκληροτραχηλεῖ[11]).

---

1) Convenit Eustath. p. 881. 32 fortasse secutus Pausaniam.

2) Cf. Hesychium v. τελμίς.

3) Antiatt. Bekk. p. 114. 29 ex Antiphonte laudat.

4) Hesychius τέλθει. Latere videtur θέλγει, v. c. sic: Τελχίν· παρὰ τὸ θέλγειν ἤτοι ἐν ᾠ. τ.

5) Cf. Hesychium. Phryn. Bekk. p. 65. 19.

6) Similiter Hesychius et Lex. rhet. Bekk. p. 307. 5, sed brevius.

7) Codex πρᾶξις. Lex. Bachm. τάξις. Plura invenit Eustath. p. 881. 25 in lexicis quibus utebatur rhetoricis, fortasse Aelii Dionysii; ex eo certe sua habet Boethus in Schol. Plat. Symp. 205 A. Cf. Prolegg. p. 128.

8) Codex κατέχοντες. Corr. Cobet. Mnem. VII. 479. Tum malim τερατοσκόπον αὐτὴν ἐποίησεν. Praestare videntur formae Τερμησσεῖς et Τερμησσός, cf. HSt. VII. 1991 C. Polemonis locum tractavit Prellerus p. 66.

9) Hesychius.

10) Similia apud Hesych. et Lex. rhet. apud Eust. p. 1391. 11 coll. 772 5.

11) Hesychius habet τελχιτένοντες, cf. M. Schmidt.

τέμνειν· πείθειν, τιμᾶν, ἡγεῖσθαι [1]).

τέμνουσι φάρμακον· τιμῶσιν, ἡγοῦνται· οὕτως ἄλλοι τε καὶ Ἱεροκλῆς [2]).

Τέμπη· τὰ μεταξὺ τῶν Θετταλίας ὀρῶν περὶ τὸν Ὄλυμπον καὶ τὴν Ὄσσαν στενά, καθόλου δὲ καὶ ἐν πᾶσι τοῖς ὄρεσι στενόταται διεκβολαί [3]).

τέμπλα· ἐπίσημα [4]).

τενάγη· διάβροχοι, κάθυγροι τόποι, πηλώδεις, πελάγη ἢ ἰλύς, ἐπιπολάζοντος ὕδατος οὐ πολλοῦ καὶ βοτάνης ἐπιφαινομένης τῷ ὕδατι [5]).

τέναρος· κακοῦργος, συκοφάντης [6]).

Τενέδιος ἄνθρωπος· Κύκνον τὸν Ποσειδῶνος γενόμενον πατέρα Ἡμιθέας καὶ Τέννου, ἐπιγῆμαι τούτοις καὶ κατηγορηθῆναι τὸν Τέννην ὑπὸ τῆς μητρυιᾶς ὡς πειρῶντα αὐτήν, πεισθέντα δὲ Κύκνον εἰς λάρνακα βάλλειν τὸν νεανίαν, ἑλομένης δὲ τῆς Ἡμιθέας συγκινδυνεύειν τῷ ἀδελφῷ, ἑκατέρους κατεπόντωσεν· ἡ δὲ λάρναξ ἠνέχθη ἐπὶ τὴν πρότερον καλουμένην Λευκόφρυν, ὕστερον δὲ Τένεδον ἀπ' ἐκείνου, ὃς καὶ βασιλεύσας τῆς νήσου ἐνομοθέτησεν τοῖς τὰ ψευδῆ κατηγοροῦσιν ὄπισθεν παρεστάναι τὸν δήμιον πέλεκυν ἐπηρμένον ὡς ἐλεγχθέντας παραχρῆμα ἀναιρεῖσθαι· ἀπὸ δὲ τοῦ φοβεροῦ θεάματος ἐκείνου λέγεσθαι Τενέδιος ἄνθρωπος· εἴρηται οὖν ἡ παροιμία ἐπὶ τῶν φοβερῶν τὰς ὄψεις [7]).

Τενέδιος ξυνήγορος· ἀπότομος. δύο γὰρ πελέκεις ἐν ἀναθήμασι τιμῶσι Τενέδιοι· καὶ παροιμία· Τενέδιος πέλεκυς· Ἀριστοτέλης μέντοι ὅτι βασιλεὺς Τενέδιος μετὰ πελέκεως δικάζων τὸν ἀδικοῦντα εὐθέως ἀνῄρει· ἢ ὅτι Ἀστερῖνα τόπος ἐν Τενέδῳ ἔνθα

---

[1]) Conveniunt Hesych. v. *τέμμειν* et Schol. Plat. Epist. VIII. 353 E.

[2]) Vide gl. sup. et Cobet. Mnemos. VII. 480. M. Schmidt. Qu. Hesych. p. XCV.

[3]) Cf. Timaeum et Hesychium.

[4]) Hesychius.

[5]) Convenit Schol. Plat. Tim. 25 D, sed ibi rectius editur *πηλώδη πελάγη*. Et sic quoque in Lex. Bachm.

[6]) Hesychius. Dobraeus mavult *ταίναρος*

[7]) Similia Zenob. 509 et addit: Μέμνηται ταύτης ἐν Ἐφεσίῳ Μένανδρος. Plura apud Steph. Byz.

ποταμίσκος, ἐν ᾧ καρκίνοι τὰ χελώνια διηρθρωμένα ἐπὶ πλεῖον ἔχοντες καὶ πελέκει ἐμφερῆ· ἢ ὅτι βασιλεύς τις νόμον θεὶς πελέκει τοὺς μοιχοὺς ἄμφω καρατομεῖν· καὶ ἐπὶ τοῦ υἱοῦ ἐτήρησεν τοῦτο· καθὸ καὶ ἐν τῷ νομίσματι ἐφ' οὗ μὲν πέλεκυς, ἐφ' οὗ δὲ δύο πρόσωπα ἐξ ἑνὸς αὐχένος· οἱ δ' ὅτι Τέννης δι' ἃ ἔπαθεν ὑπὸ τῆς μητρυιᾶς μετὰ πελέκεως τὰς φονικὰς ἔκρινε δίκας [1]).

Τενθεύς· ὁ Πενθεύς, παρ' Ἑκαταίῳ [2]).

τένθης· λίχνος· καὶ τενθεία· ἡ λιχνεία.

Τενέδιος πέλεκυς· ἐπὶ τῶν ἀποτόμων· Τέννης γὰρ διὰ τὰ τῆς μητρὸς αὐτοῦ ψευδῆ κατηγορηθέντα ἐνομοθέτησεν ἐξόπισθεν τοῦ θανάτου κατηγοροῦντος ἵςασθαί τινα ἔχοντα πέλεκυν, τὸν δ' ἀδικεῖν γνωσθέντα τούτῳ παίειν [3]).

ταινίαι· ζῶναι [4]).

τέρας· παράπλασμα, παρὰ φύσιν τεχθὲν ἢ σημεῖον [5]).

τερᾴζεις· ἀντὶ τοῦ τερατεύῃ· οὕτως Πλάτων [6]).

τέραμον· ἁπαλόν, ἑψανόν· καὶ ἀτέραμον· τὸ δυσέψανον· οὕτως Πλάτων [7]).

τεράμων καὶ ἀτεράμων· καὶ τέραμον τὸ ἑψανόν· λέγουσι δὲ καὶ ὕδωρ οὕτως, ὡς τὸ τῆς Ἀρεθούσης ἐν Χαλκίδι.

Τερμέρια· τὰ μεγάλα· Τέρμερος γὰρ καὶ Λύκος θηριώδεις καὶ λῃςαὶ ἐγένοντο· καὶ ὁ Τέρμερος πόλιν ἐν ἄκρᾳ τινὶ τῆς Μυνδίας κτίσας ἑαυτοῦ ἐπώνυμον, ἐντεῦθεν ἐλῄςευεν ὁρμώμενος [8]).

---

[1]) Plura apud Steph. Byz. Cf. Intt. ad Diogen. 758 et Apost. 1526. Locus in insula Tenedo non Ἀστερῖνα sed Ἀςέριον vocatur a Plutarcho de Pyth. Orac. p. 399 F. Vide quoque Hesych. et Intt. Suidae. Codex ὅτι γεννησαι ἃ ἔπαθεν.

[2]) Dixeris merum librarii errorem esse, nisi Schol. Soph. Oed. Col. 1320 faceret ut aliud quid subesse videretur. Ceterum Codex ἑκατέρῳ. emendavit Toupius.

[3]) Cf. Diogenianum 758 et supra.

[4]) Hesychius.

[5]) Cf. Lex. rhet. Bekk. p. 308. 25.

[6]) Hesychius τερᾴζει. Fortasse intelligitur Plato Comicus, certe apud philosophum non invenio. Nisi vocabula οὕτως Πλάτων huc perperam relata sunt e gl. seq.

[7]) Codex τέραμνον et ἀτέραμνον. Ἀτεράμων legitur Plat. Legg. IX. 853 D. 880 E.

[8]) Breviter Hesych. et Zenob. 506. Plura Schol. Vat. Eur.

τερατεία· ψευδολογία [1]).

τερατεῖαι· ψευδολογίαι [2]).

τερατώδη· παράδοξα.

τερετίζομεν· τὸ αὐτὸ μέλος ᾄδομεν [3]).

τερετίσματα· ᾠδαὶ ἀπατηλαὶ ἢ ᾄσματα ἔκλυτα, ἀπὸ μεταφορᾶς τοῦ τέττιγος ἢ τῆς χελιδόνος [4]).

τερηδών· σκώληξ ξυλοτρώκτης, οἰκῶν ἐν ξύλῳ [5]).

τερθρεία· ἡ λεπτολογία· ἔςιν γάρ τι σχοινίον ἐν τοῖς πλοίοις λεπτόν, ὃ καλεῖται τέρθρον· φασὶ δέ τινες τὰ ἄνω τρήματα τοῦ ἐπὶ τῷ ἱςῷ ὀργάνου, ἀφ' οὗ ἤρτηται τοῦ ἱςοῦ ἡ κεραία. ἄλλοι δὲ τερθρείαν φασὶ τὴν φλυαρίαν [6]).

τὴν ἐν τοῖς δύο μέρεσι καλουμένην μάχην· οἱ δὲ ὅτι ἔθος ἦν τοὺς ἐφήβους μετὰ τὸ γενέσθαι περιπόλους τῆς χώρας ςρατεύεσθαι μὲν εἰ συμβαίη πόλεμος, μὴ μέντοι μετὰ τῶν ἄλλων, ἀλλ' ἰδίᾳ ἐν μέρεσι τοῖς ἀκινδύνοις τῆς μάχης, δι' ὃ τὴν ςρατείαν καλεῖσθαι τὴν ἐν τοῖς μέρεσιν. — σημαίνει καὶ ἀπάτην καὶ περιεργίαν [7]).

τερματίζεται· τελειοῖ [8]).

τέρμινθος· ἐμφερὲς λίνῳ φυτόν, ἐξ οὗ πλέκεσθαί φασιν Ἀθήναις ὁρμιὰς χρειώδεις ἐς τὰ πάντα καὶ πρὸς ἀλεξιφάρμακον [9]).

Rhes. 496. Praeter Intt. Gött. adi Ruhnk. Tim. p. 178 et infra suo loco Τερμέρια κακά.

[1]) Codex τερατία. Cf. Hesych. et Schol. Arist. Nub. 318.

[2]) Codex τερατίαι. Quod huic glossae in Codice adhaeret, de more omisi nam e Timaeo descriptum est.

[3]) Lege τοιοῦτο μέλος et pone glossam post seq. sicuti Suidas fecit.

[4]) Cf. Hesychium.

[5]) Hesychius.

[6]) Cf. Hesych. Suid. Etym. M. p. 752. 47 et Schol. Arist. Eq. 440. In Codice adhaeret sequens glossa, vide Proll. p. 171. Praeterea Cod. τεθρία et mox τεθρίαν sed τέρθρον — τριμμάτια — ιςρῷ et mox ιςρου sed ibi ἱςοῦ factum.

[7]) Adnotatio corrupta est, quae paulo emendatius legitur in Lex. rhet. Bekk. p. 308. 28. Respici videtur Aesch. de F. L. § 168. Quod in fine adhaeret, pertinet ad praec. gl.: in Cod. est ἀπάτηι καὶ περἱεργειαι.

[8]) Hesychius τερματίζει.

[9]) Similiter Hesychius, apud quem M. Schmidt. restituit παρ' Ἀθηναίοις.

τερποτράμις· ἡ τῶν Ἀφροδισίων τέρψις· οὕτως Τηλεκλείδης.

τεταρτημόριον· τὸ τέταρτον μέρος τοῦ ὀβολοῦ, τουτέςι χαλκοῖ δύο· καὶ γὰρ ὁ μὲν ὀβολὸς ὀκτὼ χαλκοῦς ἔχει· τὸ δὲ τέταρτον αὐτοῦ δῆλον ὅτι δύο χαλκοῖ εἰσίν [1]).

τετάφατε· ἐθάψατε.

τετραβάμων· τετράπους [2]).

τετράδι γέγονας· ἐπὶ τῶν ἄλλοις πονούντων· καὶ γὰρ τὸν Ἡρακλέα τετράδι γεννηθέντα Εὐρυσθεῖ ταλαιπωρῆσαι· Φιλόχορος δ' αὐτὴν καὶ ἐπὶ Ἑρμοῦ δύνασθαι λέγεσθαι, διατεθεῖσθαι δὲ Ἡρακλεῖ τὴν ἡμέραν, ἐν ταύτῃ εἰς θεοὺς μεταςάντι [3]).

Τερμέρια κακά· περὶ Καρίαν χωρίον Τερμέριον καλεῖται, ᾧ ἐχρῶντο οἱ Τυρρηνοί δεσμωτηρίῳ· τὸ δὲ χωρίον ἐρυμνὸν τυγχάνον κεῖται μεταξὺ Μύνδου καὶ Ἁλικαρνασσοῦ, τῶν δὲ ἀπ' αὐτοῦ λῃζομένων δυσαλώτων τυγχανόντων λεχθῆναι τοῦτο [4]).

τεταμένον φῶς εὐθὺ οἷον κίονα· τὸ οὐράνιον λέγει· τὸ γὰρ συνέχον τὴν περιφορὰν τὸ ὑπόζωμα τοῦ κόσμου· κατ' ἄκρα δὲ αὖ διήκων ἐπινοεῖται ὁ ἄξων· εὐθὺ δὲ ἀντὶ τοῦ ὀρθόν· τινὲς τὸν ἄξονα τοῦ κόσμου· οἱ δὲ κύλινδρόν τινα πυρὸς αἰθερίου περὶ τὸν ἄξονα ὄντα [5]).

τετρακτύς· οἱ τέσσαρες ἤγουν ἡ τετράς [6]).

τετραχίζειν· οἷον ἐπὶ τετάρτῳ μέρει ποιεῖν τι. οὕτως Ἀριςοφάνης [7]).

τετρυπημένη ψῆφος· τῶν ψήφων οὐσῶν χαλκῶν καὶ αὐλίσκον ἐχουσῶν, αἱ μὲν ἦσαν τετρυπημέναι ὅσαι καὶ κατεψηφίσαντο· αἱ δὲ πλήρεις ἀτρύπητοι ὅσαι ἠφίεσαν τοὺς κρινομένους [8]).

---

[1]) Haec paulo pleniora quam apud Harpocr. Cf. Dindorfium ad v. σιτοφύλακες. Prolegom. p. 106.

[2]) Hesychius τετραβάμονος.

[3]) Cf. Zenob. 507. Schol. Plat. Apolog. 19 C. Schneidewinum ad Zenobium. Cobet. Plat. Com. Rell. p. 108.

[4]) Codex τύραννοι et Μύλου, alterum correxit Muellerus Etrusc. I. 79, alterum Hemst. laudati in Thes. VII. 2036 D. Praeterea vide quos laudavi supra v. Τερμέρια post τεράμων.

[5]) Codex τὸ γὰρ συνεχὲς τὴν ὑποφορὰν τὸ ὑπόζωσμα, quod emendavi coll. Plat. Rep. X. 616 B, qui locus respicitur. Cf. Intt. Suid.

[6]) Cf. Hesychium.

[7]) Cf. Hesychium et Poll. VII. 152. Codex τετραρχίζειν.

[8]) Codex καυλίσκον. Convenit Lex. rhet. Bekk. p. 307. 18, cf. Harpocr. Interpretatio fluxit ex Aristotele.

τετρῦσθαι· καταπεπονῆσθαι [1]).

τετρυχωμένος· κεκακωμένος [2]).

τετρωβολίζων· τὸ δικαστικὸν τετρώβολον λαμβάνων· ἐγένετο γὰρ καὶ τοσοῦτόν ποτε [3]).

τέτρωρον· τέθριππον ἤγουν τετράιππον [4]).

τετταράκοντα· κληρωτή τις ἦν Ἀθήνησιν ἀρχὴ τετταράκοντα τὸν ἀριθμόν, οἳ τὰς ἰδιωτικὰς δίκας ἐδίκαζον· ἀλλὰ τὰς μὲν ἄχρι δέκα δραχμῶν αὐτοτελεῖς ἦσαν δικάζειν· τὰς δὲ ὑπὲρ ταύτας τοῖς διαιτηταῖς παρεδίδουν [5]).

τεττιγοφόροι· οἱ Ἀθηναῖοι· τέττιγας γὰρ ἐφόρουν χρυσοῦς σύμβολον τοῦ γηγενεῖς εἶναι· Θουκυδίδης α'· καὶ χρυσῶν τεττίγων ἐνέρσει κρωβύλον ἀναδούμενοι τῶν ἐν τῇ κεφαλῇ τριχῶν [6]).

τετυφῶσθαι· μεμηνέναι [7]).

τετύχηκεν· οἷον συμβέβηκεν· τέτευχεν δὲ ἐπιτέτευχεν· τὸ μέντοι γεγράφηκεν παρὰ Θεοπόμπῳ καὶ ἑτέροις βάρβαρον [8]).

τευθίδες· σηπίαι [9]).

τευκτῆρι· ποιητῇ, κατασκευαστῇ [10]).

Τευμησία· περὶ τῆς Τευμησίας ἀλώπεκος οἱ τὰ Θηβαϊκὰ γεγρα-

---

[1]) Hesychius. Legitur Herodt. I. 22.

[2]) Rectius fortasse *τετρυμένος*, cf. Hesychium. Vid. Cobet. in Mnemosyne V. 100.

[3]) Error est ipsius Pausaniae, ut colligo ex Eustath. p. 1405. 29. Respicitur locus Theopompi Comici quem servavit Pollux IX. 64.

[4]) Cf. Hesychium et Eustathium p. 1734. 8.

[5]) Codex *ἀρχὴ μετὰ τὸν ἀριθμόν*, quod correxi ope Lex. rhet. Bekk. p. 306. 15.

[6]) Convenit Eustathius p. 395. 36. Similiter quoque Hesych. Aristophanes *τεττιγοφόρας* dixit Equit. 1331. Thucydidis locus legitur I. 6.

[7]) Cf. Harpocr. et Lex. rhet. Bekk. p. 308. 10. Respicitur credo Demosth. de Cor. § 11.

[8]) Errat. Photius sua habet indidem atque Phrynichus Ecl. p. 174. Sed unde *γεγράφηκεν* apud Theopompum? Ridiculum est videre Photium mox et ipsum dicentem *γεγραφηκότες* v. *Τευμησία*.

[9]) Hesychius.

[10]) Cf. Hesychium. Glossa corrupta est, sed emendatio non satis certa est.

φηκότες ἱκανῶς ἱϛορήκασι καθάπερ Ἀριϛόδημος· ἐπιπεμφθῆναι μὲν γὰρ ὑπὸ θεῶν τὸ θηρίον τοῦτο τοῖς Καδμείοις, διὸ τῆς βασιλείας ἐξέκλειον τοὺς ἀπὸ Κάδμου γεγονότας. Κέφαλον δέ φασι τὸν Δηϊόνος Ἀθηναῖον ὄντα καὶ κύνα κεκτημένον, ὃν οὐδὲν διέφευγεν τῶν θηρίων, ὡς ἀπέκτεινεν ἄκων τὴν ἑαυτοῦ γυναῖκα Πρόκριν, καθηράντων αὐτὸν τῶν Καδμείων, διώκειν τὴν ἀλώπεκα μετὰ τοῦ κυνός· καταλαμβανομένους δὲ περὶ τὸν Τευμησὸν λίθους γενέσθαι τόν τε κύνα καὶ τὴν ἀλώπεκα· εἰλήφασι δ' οὗτοι τὸν μῦθον ἐκ τοῦ ἐπικοῦ κύκλου [1]).

τευτάζειν· πραγματεύεσθαι ἢ σκευωρεῖσθαι ἢ ϛραγγεύεσθαι καὶ πολὺ διατρίβειν ἐν τῷ αὐτῷ. Λυκόφρων οὕτως καὶ Δίδυμος, προσθεὶς ὅτι ἐνίοτε σημαίνει καὶ τὸ φροντίζειν. Ἡρακλέων δὲ καταμεμψάμενος Λυκόφρονά φησιν εἶναι τὸ ἐπιϛρεφῶς τι πράττειν ἢ ἐνεργεῖν· καὶ Ἀρτεμίδωρος τὸ φροντίζειν. Φρύνιχος Μύϛαις· Μάϛιγα δ' ἐν χεροῖν ἔχων τευτάζεται· Πλάτων Ξαντρίαις· Ἦν δὴ θόρυβος τευταζόντων· ἀντὶ τοῦ πραγματευομένων ἢ διατριβόντων. Καὶ ἐν Τιμαίῳ· τῷ μὲν οὖν περὶ τὰς ἐπιθυμίας ἢ φιλονεικίας τετευτακότι· οἷον διατετριφότι. Γράφεται καὶ τεταυτακότι· Τηλεκλείδης· Πάντες δὲ τευτάζουσιν οἱ διάκονοι· ἀντὶ τοῦ πραγματεύονται, σκευωροῦνται. Φερεκράτης· Ὁ δὲ παῖδα καλεῖ καὶ τευτάζει τούτῳ δεῖπνον παραθεῖναι. Σημαίνει δὲ καὶ τὸ σπουδάζειν· Πολιτείας ζ'· καὶ τὸ ἡσυχάζειν· καὶ τευτάζων· τὸ αὐτὸ ἀεὶ λέγων, φλυαρῶν [2]).

τευταται· μηχανᾶται [3])·

---

[1]) Haec supple e Nicandro Colophonio apud Polluc. V. 39. Adde Pausan. IX. 19. 1 et Antonin. Liberal. Capite ult. Hesychius rem transigit tribus verbis. Vide quos laudat Muellerus Fragmt. Histor. III. 308.

[2]) Codex ϛρατεύεσθαι — χερσὶν ἔχων τευτασθαι. Correxit Ruhnk. Tim. 254. Porro Ξάνταις — τευξάντων — τετουτακότι — τευτάξουσιν. Platonis loci sunt Tim. 90 B et Rep. VII. 521 E. Observationem contraxit Schol. Plat. Phileb. 56 E. Vide quoque Poll. IX. 137. Glossae origo manifesta est: Photius accepit a Boetho, Boethus a Pamphilo. Pamphilum laudasse novimus Didymum, Artemidorum et Heracleonem; Didymus usurpabat Lycophronem. Supra habuimus ταυτάζειν. Plura M. Schmidt. Didym. p. 46. Cobet. Mnem. IX. 427. Prolegom. p. 66.

[3]) Fortasse rectius scribes τεχνᾶται.

τεύχοντες· κατασκευάζοντες [1]).
τευτάζων· τὸ αὐτὸ ἀεὶ λέγων, φλυαρῶν [2]).
τεῦχος· οὐ μόνον τὸ βιβλίον, ἀλλὰ πᾶν ἀγγεῖον [3]).
τέφραν καὶ σποδὸν λέγουσιν Ἀττικοί· καὶ Πλάτων εἴρηκεν τέφραν ἐν Λύσιδι [4]).
τέως· ἀντὶ τοῦ πρὸ τοῦ, πρίν, ἕως τινός, ἐπὶ τοσοῦτον ἕως [5]).
τῇδ' ἔνι· ἐν ταύτῃ δ' ἐστίν.
τήβεννα· ἱμάτιον ἢ χλαμὺς ὃ φοροῦσιν οἱ Ῥωμαῖοι [6]).
τηθαλλαδοῦς· γυναικοτρόφος, ὑπὸ τήθῃ τεθραμμένος [7]).
τηθαλλαδοῦς· ὃν οἱ πολλοὶ μαμμόθρεπτον λέγουσιν [8]).
τῇ ἀληθείᾳ σφραγίζεται· ἀντὶ τοῦ βεβαιοῦται.
τήθη· μάμμη, ἡ πατρὸς ἢ μητρὸς μήτηρ [9]).
τηθίς· θεία, πατρὸς ἢ μητρὸς ἀδελφή [10]).
τηλαυγές· λίαν λαμπρόν [11]).
τηλία· πῆγμα τετράγωνον, ἐφ' οὗ ἤτοι τὰ ἄλφιτα πιπράσκεται ἢ ἀλεκτρυόνες συμβάλλονται [12]).
τηλικοῦτος· ἐπὶ ἡλικίας τίθεται· οὕτως Μένανδρος [13]).
τημελές· ἐπιμελές [14]).

---

[1]) Hesychius.
[2]) Idem iam supra.
[3]) Cf. Piers. Moer. p. 371.
[4]) Platonis locus est in Lysid. 210 A. Codex λυσίᾳ.
[5]) Haec supersunt ex adnotatione docta et copiosa Boethi, quam servavit Schol. Plat. Hipparch. 229 D. Vide quoque Lex. rhet. Bekk. p. 309. 23.
[6]) Codex φοροῦσιν τύραννοι. Correxit Cobetus.
[7]) Codex τίτθῃ. Correxit Cobet. Mnem. VII. 480. Coniunge c. seq. gl.
[8]) Similia Hesychius. Ex Eustathio p. 971. 20 suspiceris observationem esse Aelii Dionysii, quem adhibuit Phrynichus quoque Praep. Soph. 65. 30 et Ecl. 132.
[9]) Coniunge c. seq. gl.
[10]) Haec Photius habere videtur e lexicis suis rhetoricis, coll. Eustath. p. 971. 20. Cf. supra v. μάμμην. Tim. in v. et Lex. rhet. Bekk. p. 309. 29. 30.
[11]) Cf. Hesychium et supra v. μάμμη.
[12]) Cf. Hesych. Schol. Arist. Plut. 1037. Lex. rhet. Bekk. p. 307. 31. Usurparunt et alii et Aesch. Tim. § 53. Cf. Prolegom. p. 184.
[13]) Menandri locus legitur in Anecd. Bekk. 1175.
[14]) Hesychius.

τημελής· ἐπιμελής, σπουδαῖος.
τημελῆσαι· ἐπιμελῆσαι, φροντίσαι [1]).
τημελήσαντες· θλίψαντες [2]).
τημελούμενον· ἐπιμελούμενον, φιλοκαλούμενον.
τῇ μέν· ὅπου μὲν ἢ ἐν μέρει.
τὴν Ἀκεσαίου σελήνην· παροιμία· λέγεται δὲ ἐπὶ διαμενόντων καὶ βραδυνόντων· ἦν δὲ Νείλεω κυβερνήτης ὁ Ἀκεσαῖος [3]).
τηνάλλως· μάτην· καὶ οὐ τηνάλλως μετὰ τῆς ἀποφάσεως λέγεται· ὁ δὲ Φιλήμων Νυκτί· Τὸ κανοῦν δ' ὁ παῖς περίεισι τηνάλλως ἔχων· ἔςι καὶ παρὰ τοῖς περὶ Δημοσθένην καὶ ἐν Θεαιτήτῳ Πλάτωνος [4]).
τὴν γλαῦκα τωθάζουσι· παροιμία [5]).
τήνελλα· τοῦ ἐπαυλήματος μίμησις καὶ τοῦ κρούματος [6]).
τὴν ἐμὴν κάμνεις νόσον· παροιμία, ὡς ἡ τοιαύτη· ταὐτὸν ἕλκομεν ζυγόν [7]).
Τήνια· ὅτι οἱ ὄφεις ἐν Τήνῳ πικροὶ γίνονται [8]).
τηνικαῦτα· τότε [9]).
τὴν κατὰ σαυτὸν ἕλα· τοῦτο οἱ μὲν Πυθικὸν εἶναί φασιν ἀπόφθεγμα, οἱ δὲ Σόλωνος· ἔνιοι δὲ αὐτὸ Χείλωνα εἰπεῖν συμβουλευομένῳ τινί, εἰ πλούσιον ἕλοιτο γάμον [10]).
τὴν λεοντῆν ἐνδύου· ἴσον τῷ γενναΐζου [11]).

---

[1]) Rectius scribes ἐπιμεληθῆναι. Cf. Phryn. Bekk. p. 66. 14.
[2]) Hesychius τημελῆσαι· θλίψαι. Dobraeus suspicatur θρέψαντες. Possis quoque θεραπεύσαντες. M. Schmidt. narrat Meinekium conjecisse ἀλείψαντες, quod absonum videtur.
[3]) Codex ἡ παροιμία — νειλέῳ. Cf. Apostol. 1544.
[4]) Malim τῆς οὐ ἀποφάσεως. Vocabulum legitur apud Demosth. Olynth. III. § 21, Philipp. II. § 32, alibi et apud Plat. Theaet. 172 E.
[5]) Deest apud Paroemiographos.
[6]) Aristoph. Av. 1764. Acharn. 1227.
[7]) Codex κάμνειν. Corr. Cobet. Mnem. VII. 480. Alibi proverbium non invenitur quantum scio.
[8]) Refero ad Arist. Plut. 718 ubi vide Schol.
[9]) Hesychius.
[10]) Si nescis quid sit ἕλα, mecum scribe τὴν κατὰ σαυτὸν ἐλοῦ. Veterem esse corruptelam ostendent Diogen. 746, Macar. 724 et Apostol. 1555.
[11]) Vide Intt. ad Apostol. 1552.

τὴν χεῖρα προσφέροντα τὸν θεὸν καλεῖν· βοηλάτης ἐκ κώμης ἅμαξαν ἄγων καὶ ταύτης ἐμπεσούσης εἰς κοιλώδη φάραγγα, δέον βοηθεῖν ἀργὸς ἵστατο τῷ Ἡρακλεῖ προσευχόμενος· ἐκεῖνον γὰρ ἐκ πάντων τῶν θεῶν ἀσπαζόμενος ἐτίμα· ὁ δὲ θεὸς ἐπιστὰς εἶπεν· τῶν τροχῶν ἅπτου καὶ τοὺς βόας νύττε καὶ τότε τὸν θεὸν εὔχου ὅταν καὐτός τι ποιῇς· μὴ μέντοι γε μάτην εὔχου· ἐκ τούτου εἰς παροιμίαν εἰσήχθη [1]).

τηροῦ· φυλάττου [2])·

τῆς μητρὸς ὡς αἶξ καλεῖται· οἱ γὰρ ἔριφοι ἐν τοῖς αἰπολίοις ἀπὸ τῶν μητέρων γνωρίζονται, ἀπὸ πατέρων γὰρ ἀδύνατον [3]).

τητᾶσθαι· στερίσκεσθαι [4]).

τήτει· σπάνει [5]).

τητινοί· πυροὶ οἱ τετράμηνοι οὓς Ἴωνες σητανίους καλοῦσιν [6]).

τήθη· μάμμη [7]).

τητώμενον· στερισκόμενον [8]).

τιάρα· κόσμος ἐπικεφάλαιος, ἣν οἱ βασιλεῖς μόνοι ὀρθὴν ἐφόρουν παρὰ Πέρσαις, οἱ δὲ στρατηγοὶ κεκλιμένην· καὶ Δημάρατος ὁ Λακεδαιμόνιος ὃς δὴ μετὰ Ξέρξου ἦλθεν ἐπὶ τὰς Ἀθήνας, ἐπὶ τινὸς εὐημερίας συγχωρήσαντος αὐτῷ τοῦ βασιλέως ὃ θέλει αἰτήσασθαι, ᾐτήσατο ἐν ὀρθῇ τῇ τιάρᾳ εἰς Σάρδεις εἰσελάσαι, ὡς Φύλαρχος ἐν ι΄· τὸ δ' αὐτό φασιν εἶναι καὶ κίταριν· Θεόφραστος δ' ἐν τῷ περὶ βασιλείας Κυπρίων τὴν κίταριν ὡς διάφορον [9]).

---

[1]) Haec compone cum Babrii fabula 20. Paroemiographi non habent.

[2]) Malim τήρει.

[3]) Cf. Intt. Apostol. 1534. Codex αἰπόλοις.

[4]) Saepe Tragici.

[5]) Cobetus χήτει, sed vide aliam suspicionem L. Dindorfii in Thes. VII. 2154 D qui τήτει reddit Euripidi in fragmento quod servavit Athen. XIV. 613 D.

[6]) Cf. supra v. σητάνιοι. Codex τητηνοί — οἴωνες σιτανίους m. pr. ο del. et ι in ει mut. corrector.

[7]) Codex τήτθη. Idem supra iam habuimus.

[8]) Schol. Plat. Legg. VII. 810 B. Hesychius.

[9]) Glossa est Platonica, cf. Schol. Rep. VIII. 553 C. Unde Boethus hauserit apparet ex Hesychio qui similia tradit. Fons communis omnium est Pamphilus. Confer quoque Schol. Arist.

Τίβιοι· ἔθνος· Λεύκων ἐν Φράτερσιν· τάχα δὲ οἱ αὐτοὶ τοῖς Τιβαρηνοῖς [1]).
τιγγάβαρι· τὸ κιννάβαρι· Διοκλῆς [2]).
τιτιγόνιον· ἐπὶ νηπίου τίθεται [3]).
τί δαί· τί δή, καὶ οὕτως λέγουσι τὸ τί δή [4]).
τί δῆτά σοι; τί σοι [5]).
τιτίζειν· τὶ λέγειν· οὕτως Ἀριστοφάνης [6]).
τιθασεύει· ἡμεροῖ, πραΰνει.
τιθασόν· ἥμερον.
Τιθράσιος· δῆμος Αἰγηΐδος.
τιθηνούμενος· τρέφων· τιθηνὸς γὰρ ἡ τροφός [7]).
τιθύμαλλον· πόα πικρά [8]).
Τιθωνόν· τὸν γέροντα· Ἀριστοφάνης· Ἄνδρα Τιθωνὸν ταράττων καὶ σπαράττων καὶ κυκῶν [9]).
Τιθωνοῦ γῆρας· ἐπὶ τῶν πολυχρονίων καὶ ὑπεργήρων τάσσεται· ἱστορεῖται δὲ ὅτι Τιθωνὸς ἐπιθυμίᾳ τοῦ τὸ γῆρας ἐκδύσασθαι εἰς τέττιγα μετέβαλεν [10]).

Av. 487. Ad rem: Xen. Anab. II. 5. 23, nobilissimnm pavimentum Neapoli in musco, quo Darius repraesentatur in pugna apud Issnm, et plura in Thes. VII. 2155 C. Codex κεκλημένην — ὡς φίλαρχον ι — θεόφραςως — κυταριν.

[1]) De hoc loco vide Meinek. Fragmt. Comm. II. 750 et HSt. VII. 2157 A. App. Provv. 171. Codex λευκὸν ἐν Φράτερσεσιν.

[2]) Codex τιαγγάβαρι. Diocles usurpavit ἐν Μελίτταις, cf. Hesych. et infra post τιτθοί. Photius habet e rhetorico lexico, cf. Eustath. p. 510. 30 qui laudat praeterea duo Dioclis fragmenta. Adde HSt. VII. 2158 C.

[3]) Codex τιγόνιον, certatim correctnm. Adnotatio videtnr Aelii Dionysii esse, nam ea quae sequitur infra post τιγγάβαρι de eodem argumento Pausaniae tribuenda est.

[4]) Codex τί δέ. Cf. Hesychium.

[5]) Hesychius.

[6]) Codex τίζειν. Recte τιτίζειν supra v. πιπίζειν. Addo Aelium Dionysium apnd Eustath. p. 229. 25.

[7]) Cf. Intt. ad Hesych.

[8]) Usurpat Aristophanes Eccl. 405.

[9]) Arist. Acharn. 688. Cf. Eustath. p. 826. 1.

[10]) Addit Zenobius 518: ὡς φησὶ Κλέαρχος ἐν τῷ περὶ βίων. Cf. Eustath. p. 396. 36.

τικτικόν· τὸ ταῖς τικτούσαις διδόμενον φάρμακον· Ἀριστοφάνης [1]).
τίλλειν· διαβάλλειν [2]).
Τιμαγόρας· οὗτος πρεσβευτὴς πεμφθεὶς πρὸς βασιλέα ὑπ' Ἀθηναίων οὐ μόνον χρυσίον ἔλαβεν παρ' αὐτοῦ καὶ ἀργύριον, ἀλλὰ καὶ κλίνην πολυτελῆ καὶ στρώτας θεράποντας καὶ βοῦς π'· καὶ κατέβη ἐπὶ θάλασσαν ἐν φορείῳ κομιζόμενος· καὶ τοῖς κομίσασι παρὰ βασιλέως ἐδόθη μισθὸς τάλαντα δ'· τοῦτον οὖν ἀνεῖλον Ἀθηναῖοι [3]).
τοὔψον· ὅπου τὰ ὄψα πιπράσκεται, ὥσπερ τό· Παρῆλθον εἰς τὰ σκόροδα καὶ τὰ κρόμμυα Καὶ τὸν λιβανωτόν [4]).
τί μαθών· τί βουλόμενος [5]).
τιμαῖος· ὁ πολλῆς τιμῆς· οὕτως Διοκλῆς [6]).
τιμαλφούμενος· τιμὴν εὑρηκώς [7]).
τιμαλφέστερον· τιμιώτερον, λαμπρότερον· ἄλφειν γάρ ἐστι τὸ εὑρίσκειν, ὥστε γίνεσθαι τὸ τιμαλφέστατον τιμὴν εὑρίσκον πλείστην, ὃ δὴ συμβέβηκε τῷ χρυσῷ [8]).
τιμητικὸν πινάκιον· τὸ τοῖς δικάζουσι διδόμενον, ἐν οἷς γράφουσι τί χρή . . . . · Ἀριστοφάνης [9]).
τιμήσεως· ζημίας [10]).
τίμιον· ἀντὶ τοῦ ἔντιμον· οὕτως Ἀντιφῶν· ὁ δὲ Δημοσθένης ἐχρήσατο ἐπὶ τοῦ πιπρασκομένου πολλῆς τιμῆς [11]).

---

[1]) Cf. Polluc. IV. 208.
[2]) Cf. Hesychium. Utitur Aristophanes Av. 286.
[3]) Brevius in Lex. rhet. Bekk. p. 307. 27. Ad rem cf. Xen. Hell. VII. 1. 38. Demosth. de F. L. § 31. 137. 191 et Athen. I. 48 D.
[4]) Eupolidis fragmentum est quod paulo plenius laudatur a Polluce IX. 47, sed ibi est περιῆλθον. Cf. Meinekium. Breviter Lex. rhet. Bekk. p. 307. 30.
[5]) Sic quoque μαθών apud Hesych. non παθών. Cf. Cobet. Mnem. VIII. 70. 120. Observ. meas Crit. in Platonem, 1864 p. 51.
[6]) Codex οὗτος.
[7]) Habet Aesch. Eum. 626 et 807.
[8]) Glossa Platonica quae pertinet ad Tim. 59 B. Cf. Timaei Lex. Codex γενέσθαι — εὑρίσκειν.
[9]) Post χρή quatuor fere litterarum spatium. Glossam refero ad Arist. Vesp. 167. Cf. Poll. VIII. 16.
[10]) Hesychius.
[11]) Demosth. Dionysodor. § 8.

τί μήν· τί γάρ, τί οὖν[1]).

τιμωρεῖν· ἀντὶ τοῦ βοηθεῖν[2]).

τί οὐκ ἀπήγξω ἵνα Θήβησιν ἥρως γένῃ· κέχρηται αὐτῇ Πλάτων *ἐν* Μενελάῳ· *παρὰ δὲ τὴν ἱςορίαν· οἱ γὰρ ἐν Θήβαις ἑαυτοὺς διαχειριστάμενοι οὐδ' ἡςινοσοῦν τιμῆς ἠξιοῦντο*[3]).

τις ἐν Κύδωνος· *ἐπὶ τῶν φιλοφρόνως δεχομένων τοὺς ξένους, ἀπὸ* Κύδωνος Κορινθίου *φιλοξένως διατεθέντος*[4]).

τίς πατέρ' αἰνήσει εἰ μὴ κακοδαίμονα τέκνα· ἴσως ἐπὶ τῶν προγονικὰ ἀνδραγαθήματα προφερόντων[5]).

τίς τρόπος ἵππων· παροιμία ἐπὶ τῶν ἀλλοκότων· Μεταγένης Θουριοπέρσαις· Τίς *τρόπος ἵππων· ὡς δ' ὀρχοῦνται τὸν βαρβαρικὸν τρόπον οὗτοι.*

Τιτακίδαι *καὶ* Θυργωνίδαι· *Φρατρίαι τινὲς καὶ γένη ἄδοξα καὶ οὐδενὸς ἄξια· εἰς γὰρ εὐτέλειαν ἐκωμῳδεῖτο· οὐχὶ δὲ δῆμοι, ὡς οἴονταί τινες*[6]).

Τιτανίδα *γῆν· οἱ μὲν τὴν πᾶσαν, οἱ δὲ τὴν* Ἀττικήν, *ἀπὸ* Τιτινίου *ἑνὸς τῶν* Τιτάνων *ἀρχχιοτέρου οἰκήσαντος περὶ* Μαραθῶνα, *ὃς μόνος οὐκ ἐςράτευσεν ἐπὶ τοὺς θεούς, ὡς* Φιλόχορος *ἐν* Τετραπόλει, Ἴςρος *δὲ ἐν α'* Ἀττικῶν[7]).

---

[1]) Cf. Timaeum.

[2]) Cf. Ammon. p. 136. Thom. M. p. 854 et Erotianum qui Euripidem laudat in Oeneo.

[3]) Cf. Zenob. 517 qui eadem habet sed utitur aliis verbis. De versu restituendo adi Meinekium. Explicationem lexicographi nemo opinor probabit. Codex *διαχειρωστάμενοι.*

[4]) Proverbium olim fuit *Ἀεί τις ἐν* Κύδωνος. Recte Zenob. 142. Eustath. p. 1468. 26 et 1861. 10 et Suid. Idem vitium in Diogen. 742.

[5]) Cf. Diogen. 746, sed imprimis Schneidewinum in Praef. Paroemiogr. p. VI.

[6]) Codex Τιταγίδαι et *Θυργονδοι.* Corrupta glossa est in Lex. rhet. Bekk. p. 308. 16. Impugnatur Nicandri doctrina quod ex Harpocratione conficio, quem vide in v. et v. *Θυργωνίδαι.* Vide quoque Steph. Byz.

[7]) Cf. Hesych. et Apostol. 1569. Rectius fortasse in Etym. M. *ἀπὸ* Τιτάνου. Tum Dobraeus suspicatur *τῶν* Τιτάνων *τὸ ἀρχαῖον οἰκ.* vel Τιτάνων *ἀρχαιότερον* ut sit adverbium. Mox mavult *τῶν* Τιτάνων [Τιτάνων *ἀρχχιότεροι*] *οἰκ.* ut huic irrepserit articulus explicatione carens ex Arist. Av. 469.

Τιτᾶνες βοᾶν· ἐβοήθουν γὰρ τοῖς ἀνθρώποις ἐπακούοντες, ὡς Νίκανδρος ἐν α' Αἰτωλικῶν· ἐνομίζοντο δὲ τῶν Πριαπωδῶν θεῶν εἶναι [1]).
τίτανον· λευκὸν ἢ γύψον, κονίαν.
τιτθή· τροφός.
τιτθοί· μαστοί, ἤτοι τῶν μαζῶν τὰ ἄκρα [2]).
τιγγάβαρι καὶ κιννάβαρι· τὸ μὲν αὐτοφυὲς περὶ Ἰβηρίαν καὶ Κόλχους, τὸ δὲ ἐξ ἄμμου λαμπυριζούσης καθάπερ ὁ κόκκος, ὡς Θεόφραστος ἐν τῷ περὶ λίθων [3]).
τιτιγόνιον· ὅμοιον τέττιγι· Ἐπίλυκος Κοραλίσκῳ [4]).
τιτίς· βραχὺ ὀρνίθιον· σημαίνει καὶ τὸ γυναικεῖον αἰδοῖον· τιτὶς γὰρ ἡ κέρκος [5]).
τιτυρίδες καὶ τίτυροι· τράγου εἶδος [6]).
τῖφυς· ὁ καλούμενος ἐπιάλτης [7]).
τί φῶ· τί εἴπω [8]).
τλῆθι· ὑπόμεινον [9]).
τληπαθής· ὑπομένων ἐν τῷ πάσχειν [10]).
τλητικῶς· ὑπομονητικῶς [11]).
τὸ ἀπὸ τῆς Παλληνίδος· τὸ φοβερόν, ἀπὸ τῆς ἐπὶ Παλληνίδι μάχης, ἐν ᾗ ἡττήθησαν Ἀθηναῖοι [12]).

---

[1]) Articulus in Codice cum superiore conjunctus. Cf. Diogen. 747. Titanes esse θεοὺς Πριαπώδεις vide Eust. p. 849. 55; 985. 52; 1597. 30 et Hesych. ibiq. Intt.

[2]) Haec conjunge c. super. gl. τήθη.

[3]) Haec explicatius quam quae supra post Τίβιοι. Theophrasti locus est de lapid. 59. Codex τιγγάβαρι scalpello factum ex τιττάβαρι vel τιννάβαρι.

[4]) Codex τιττιγόνιον. Cf. supra p. 214. Adnotatio ni omnia fallunt Pausaniae est, cf. Eustath. p. 396. 1 et 229. 25, cf. Athen. IV. 133 B. Omnium fons Aristoteles est in H. A. IV. 7. Cf. Prolegom. p. 72. Supra habuimus κερκώπη. De scriptura nominis docte egit Dindorfius in Thes VII. 2091.

[5]) Ex Aelio Dionysio, cf. Eustath. p. 229. 26.

[6]) Cf. Schol. Theocr. 3. 2. Codex καὶ πτυροι.

[7]) Codex τιφύς. Cf. supra ad v. ἠπιάλης.

[8]) Hesychius.

[9]) Hesychius τλᾶθι.

[10]) Cf. Hesychium.

[11]) Hesychius.

[12]) Codex Παλλαινίδος et Παλλαινίδι. Scholion videtur ad Arist. Acharn. 233, cf. Kuster. ad Suid. et HSt. II. 82.

τό γε ἧκον· ὅσον ἐπ' αὐτῷ, ὅσον δύναται [1]).
τὸ ἐπίπαν· τὸ σύνολον.
τὸ θερμὸν τοῦ ὀβελοῦ· ἐπὶ τῶν αἱρουμένων τὰ χείρονα ἀντὶ τῶν κρειττόνων· ἡ παροιμία ἀπὸ τῶν ἀπείρως δρασσομένων κατὰ τὸ πεπυρωμένον τῶν ὀβελίσκων· μέμνηται αὐτῆς Σοφοκλῆς [2]).
τοιᾶσδε· τοιαύτης.
τοιγαροῦν· ἀμέλει, ὅθεν δή, οὐκοῦν, διὰ τοῦτο δὴ οὖν [3]).
τοιγάρτοι· τούτου γὰρ ἕνεκεν [4]).
τοίνυν· διὰ γὰρ τοῦτο ἢ οὖν [5]).
τοιχωρύχος· κλέπτης [6]).
τοιχορύκτης· λῃστής [7]).
τοιχωρύχημα τοίχου· γαλῆς ὀπή [8]).
τοκάδα· Εὔβουλος.
τὸ κηρύκειον ἢ τὴν μάχχιραν· λεγόμενόν τι [9]).
τὸ κατακύλλωμα· τὸ πέρας καὶ ἀνωτάτω τῶν κακῶν [10]).
τοκοφορεῖν· [11]).
τοκούμενον· γεννώμενον, τικτόμενον [12]).
τολμῆσαι· ὑπομεῖναι· Νόμων θ'· εἰ πατέρα ἀπέκτεινέ τις, αὐτὸν τοῦτο ὑπὸ τέκνων τολμῆσαι βίᾳ πάσχοντα· καὶ ἐν β'· τολμῷ ἀντὶ τοῦ τολμῶν ὑπομένοι [13]).

---

1) Cf. Hesychium.
2) Codex ἀναιρουμένων. Convenit Zenob. 519.
3) Cf. Hesychium.
4) Hesychius.
5) Cf. Hesychium.
6) Codex τοιχορύχος.
7) Coniungenda videtur cum gl. super. ut apud Hesychium. De scriptura nominis vide Dind. apud HSt. VII. 2266 D. Malim tamen τοιχωρύκτης.
8) Fortasse paulo rectius Suidas: τοιχωρύχημα γαλῆς· τοίχου ὀπή.
9) In Codice adhaeret superiori glossae. Separavit Dobraeus. Cf. Zenob. 226 ibiq. Intt. Photins hausit e rhetorico lexico, quod exscripsit Eustath. p. 408. 4 apud quem vide interpretationem duplicem. Cf. Prolegom. p. 171.
10) An κατακύρτωμα vel κατακυμάτωμα?
11) Explicatio omittitur; adhaeret in Codice sequens glossa. Habet Demosth. c. Neaer. § 52.
12) Forma inaudita.
13) Codex τοῦτον et τολμῶ. Platonis loci sunt Legg. IX. 872 E et II. 661 A.

τολμητίας· τολμηρός [1]).

τοξόται· οἱ δημόσιοι ὑπηρέται· τοὺς δ' αὐτοὺς καὶ Σκύθας ἔλεγον καὶ Σπευσινίους ἀπὸ τοῦ πρώτου συντάξαντος αὐτούς [2]).

τὸ Μηλιακὸν πλοῖον· τοῦτο ἐπὶ τῶν ἄγαν ῥεόντων πλοίων ἀπὸ ἱστορίας τινὸς εἴρηται· φησὶ γὰρ Ἀριστοτέλης Ἱππότην εἰς ἀποικίαν στελλόμενον τοῖς μὴ βουληθεῖσιν αὐτῷ συμπλεῖν καταράσασθαι· ἐπειδὴ γὰρ προφασιζόμενοι οἱ μὲν τὰς γυναῖκας αὐτοῖς ἀρρωστεῖν, οἱ δὲ τὰ πλοῖα ῥεῖν κατέμενον, κατηράσατο μήτε πλοῖα στεγανὰ αὐτοῖς γενέσθαι ποτὲ καὶ ὑπὸ τῶν γυναικῶν κρατεῖσθαι ἀεί [3]).

τόμιον· τὸ τεμνόμενον ἱερεῖον [4]).

τομόν· τὸ τμητικόν, ὀξυτόνως· οὕτως Πλάτων [5]).

τομίας· εὐνοῦχος.

τὸν ἀφ' ἱερᾶς· γραμμὴ ἐν τῇ τῶν πεττῶν παιδιᾷ· Μένανδρος Καταψευδομένῳ [6]).

τοναίαν· Ἄλεξις Παλλακῇ· — οὐκ ἔχω γὰρ ἀλλ' ὅ τι Εἴπω τοναίας τηλικαύτης ἄξιον· ἡ γὰρ ἐπιπολὺ τῆς φωνῆς ἀπότασις καλεῖται τοναία [7]).

τονθορύζει· ὑπόπτως λαλεῖ, ψιθυρίζει, ἠρέμα γογγύζει [8]).

τόνον· εὔτονον δύναμιν [9]).

τὸ νῦν εἶναι· παρέλκει τὸ εἶναι· Θεόπομπος.

τοξοποιεῖν τὰς ὀφρῦς· ἀντὶ τοῦ σκυθρωπάζειν [10]).

---

[1]) Cf. Hesychium et Thom. M. p. 856 qui usum vocabuli improbat.

[2]) Codex τολοται et σπευσιμους ἀπὸ τοῦ συντάξαντος. Correxi coll. Poll. VIII. 132 et Photii glossa quam vide infra suo loco.

[3]) Aliter Diogen. 731. Ipsam historiam illustrat Muellerus ad Aristotelis fragmentum 143.

[4]) Plura Hesychius.

[5]) Plat. Tim. 61 E.

[6]) De hoc proverbio omnia congesserunt Interpretes ad Diogenianum 441. Porsonus minus recte scripsit γραμμῆς. Codex: γραμμη: cf. Hesychium.

[7]) Breviter Hesychius.

[8]) Cf. Phrynich. Bekk. p. 67. 2. Ecl. 158. Hesych. Valck. Animm. ad Ammon. p. 120. Plura in Thes. VII. 2285.

[9]) Cf. Hesychium.

[10]) Ex Arist. Lysistr. 8. Cf. Hesychium.

τοξόται καὶ Σκύθαι καὶ Σπευσίνιοι· οἱ δοῦλοι οἱ δημόσιοι Ἀθήνησιν, ἀπὸ Σπευσίνου τοῦ πρώτου καταστήσαντος αὐτοὺς εἰς τὴν ὑπηρεσίαν [1]).

τοπάζειν· οἷον στοχάζεσθαι, ἐνθυμεῖσθαι, ὑπονοεῖν· καὶ ἐτόπαζον ὁμοίως· καὶ παρὰ Σοφοκλεῖ ἐν Ἠριγόνῃ· ἃ δὲ Δόξῃ τοπάζω ταῦτ' ἰδεῖν σαφῶς θέλω· διὸ καὶ ὑποτοπεῖν τὸ ὑπονοεῖν λέγουσιν [2]).

τὸ παρὸν εὖ ποιεῖν· παροιμία· Πλάτων Γοργίᾳ· καὶ ὡς ἔοικεν ἀνάγκη μοι κατὰ τὸν παλαιὸν λόγον τὸ παρὸν εὖ ποιεῖν. Κρατῖνος Πυλαίᾳ· Ἄνδρας σοφοὺς χρὴ τὸ παρὸν πρᾶγμα καλῶς εἰς δύναμιν τίθεσθαι [3]).

τοπεῖα· σχοινία [4]).

τὸ πέρα· ἔτι ἐπὶ πλέον ἢ ἕως τέλους ἢ ὅλως [5]).

τορεύει· γλύφει, τιτρᾷ [6]).

τόργος· ὁ γύψ [7]).

τόρμος· ἡ πλήμνη εἰς ἣν ὁ ἄξων ἐνήρμοσται [8]).

τόρμος· ὁ δρόμος ὁ ἐν τῷ ἱπποδρόμῳ ἢ ἡ καμπὴ ἢ ἡ ὕσπληξ [9]).

τόρνος· ξύλον στρογγύλον [10]).

τόρος· ἐργαλεῖον φρεωρυχικόν [11]).

---

[1]) Codex Σπουσίνιοι — Σπουσίνου — πρῶτον. Vide quae laudavimus supra post τολμητίας.

[2]) Glossa Platonica est, ut patet e Scholio ad Legg. XII. 962 C, ubi τοπάζειν legitur; ἐτόπαζον est Legg. VIII. 837 E.

[3]) In Photii Codice desunt verba Πυλαίᾳ ἄνδρας quae apud Suidam exstant, quod nota. Platonis locus legitur in Gorgia 499 C. Cf. Hesychium. Cobetus Mnemos. IX. 144 suspicatur verum esse Ἄνδρα σοφόν.

[4]) Codex τόπια. Plura de hoc vocabulo Harpocr. et Poll. VII. 150 et X. 150.

[5]) In Codice ἐπὶ ex emendatione.

[6]) Hesychius τορνεύει, sed recte Photius. Sed τιτρᾷ non ad τορεύει pertinet sed ad τορεῖ. Cf. notissimam Bentleii adnotationem ad Hor. Art. Poet. vs. 441.

[7]) Hesychius repetit e dialecto Siculorum.

[8]) Codex πλήμη. Convenit Eustathius p. 598. 22 sed scribit τόρμη.

[9]) Convenit Eustathius p. 598. 22. Vide quoque Hesychium. Codex καμπτή.

[10]) Cf. Hesychium.

[11]) Idem tradit Eustathius p. 1533. 10 et adscribit Philyllii

τορῶς· ἰσχυρῶς, τραχέως, μεγαλοφώνως [1]).

τὸ σκαμβὸν ξύλον οὐδέποτε ὀρθόν· αὕτη δημώδης ἐςὶ καὶ φανερά· τάττεται δὲ καὶ κατὰ τῶν διάςροφα ξύλα ἢ πράγματα πειρωμένων κατευθύνειν καὶ μηδὲν ὠφελούντων [2]).

τοῦ· τίνος ἢ ἕνεκα [3]).

τοῦ· καὶ ἐπὶ θηλυκοῦ τάττεται, ὥσπερ τὸ τίνος· Ἀριςοφάνης Ἀμφιαράῳ· Ταυτὶ τὰ κρέ' αὐτῷ παρὰ γυναικός του φέρω. Ἐπὶ δ' οὐδετέρου Δαναΐσιν· Ἀλλ' εἴσιθ' ὡς τὸ πρᾶγμα λέξαι βούλομαι Τουτί· προσόζειν γὰρ κακοῦ του μοι δοκεῖ. Ἐπὶ δ' ἀρρενικοῦ Κοριαννοῖ Φερεκράτης· Πάντως γάρ εἰσι τῶν φίλων ἑνός γέ του [4]).

τοῦ Διὸς τὸ σάνδαλον· ἐπὶ τῶν ὡς μέγα δή τι· Εὔπολις Χρυσῷ γένει [5]).

τοὔμπαλιν· εἰς τοὐπίσω [6]).

τοῦ πάνυ· τοῦ πανυμνήτου [7]).

τοὐπίπεμπτον· οἱ γὰρ μὴ μεταλαβόντες τὸ πέμπτον μέρος τῶν ψήφων ἄτιμοι ἦσαν· οὕτως Ἀριςοφάνης [8]).

τραγήματα· ὡς ἡμεῖς, τὰ ἐπιφορήματα· Ἀριςοφάνης [9]).

τραγικῆς· τραγῳδεῖν εἰδυίας.

τραγικὸν πάθος· συμφορᾶς μεςόν [10]).

τραγικὸς πίθηκος· παροιμία· ἐπὶ τῶν παρ' ἀξίαν σεμνυνομένων [11]).

τραγῳδία· δεινοπάθεια.

τραγῳδεῖν· χορεύειν, Ἀριςοφάνης [12]).

---

locum. Noli dubitare eum hoc habere e lexicis suis rhetoricis. Cf. Hesychium.

1) Codex τορος primo.

2) Addidi καὶ μηδέν. Cf. Provv. Plut. 18 ibiq. Intt.

3) Malim ἢ τίνος.

4) Codex κρέα. Meinekius ἐλέγξαι pro λέξαι. Dubito.

5) Supplevit locum Apostolius 1611. Codex χρυσογένει.

6) Cf. Hesychium.

7) Habet Xen. Memor. III. 5. 1.

8) Vide Aristophanis locum apud Harpocr. v. ἐπίπεμπτον.

9) Haud raro Aristophanes. Vide quoque Schol. Plat. Rep. II. 372 C.

10) Hesychius.

11) Pertinet ad Demosth. Cor. § 242; vide Harp. qui plura. Convenit Hesychius.

12) Nempe Arist. Nub. 1091. Hesych. omittit Aristoph. nomen.

τράμις· ὁ ὄρρος ἢ ἡ διαγραφὴ ἢ τὸ τρῆμα τοῦ ἀρχοῦ [1]).
τρανές· τὸ σαφὲς οἱ τραγικοὶ λέγουσι [2]).
τραπέμπαλιν· ἐπ' ἀριστερά, ὑπεναντίως· οὕτως Φερεκράτης [3]).
τρασιά· οὗ τὰ σῦκα ψύχεται· οὕτως Εὔπολις [4]).
τραπεζοποιός· ὁ τῶν περὶ τὸ συμπόσιον πάντων ἐπιμελούμενος, τραπεζῶν, σκευῶν, σπονδῶν, ἀκουσμάτων· οὕτως Μένανδρος [5]).
τραυματισθῆναι· ἀντὶ τοῦ τρωθῆναι. Θουκυδίδης δ' [6]).
τραυματίας· τετρωμένος.
τραύξανα· τὰ ἀπὸ τῆς φάτνης ἀποπίπτοντα τῶν ἵππων ἢ τῶν βοῶν ἢ τῶν ἄλλων κτηνῶν λείψανα· σημαίνει δὲ καὶ τὰ ἀκανθώδη καὶ ξηρὰ ξύλα· οὕτως Φερεκράτης [7]).
τράχηλοι· τῶν θαλασσίων πορφυρῶν· οὕτως Ποσείδιππος [8]).
τρέσας· φοβηθείς, δειλιάσας [9]).
τρέφεσθαι· πήγνυσθαι, συνίστασθαι· περὶ ψυχῆς· τότε δὴ τὰ ζῷα συντρέφεται, ἀντὶ τοῦ συνίσταται, πήγνυται· — Ἥμισυ μὲν θρέψας· — Πολλὸν δὲ τρόφι κῦμα· τεθραμμένον, συνιστάμενον [10]).
τρέχειν τὸν περὶ ψυχῆς· οἷον δρόμον [11]).
τριάκοντα· πρῶτοι μὲν οἱ κατὰ πόλιν δικασταί, δεύτεροι οἱ κατὰ δήμους τριάκοντα, τῆς ἐκκλησίας ἐπιμελούμενοι μετὰ τῶν ληξιάρχων· οὕτως Φρύνιχος [12]).

---

[1]) Cf. Hesych. et Poll. II. 173. Ceteris plura Erotianus. Usurpavit Aristophanes Thesm. 246.
[2]) Cf. Hesychium.
[3]) Cf. Hesychium. Dindorfius vocabulum probabiliter reddit Dioni Cassio XLVII. 40.
[4]) Cf. Hesychium. Usurpavit Arist. Nub. 50.
[5]) Locum Menandri quem grammaticus intelligit vide apud Athen. IV. 172 A. Adi quoque Hesych. et Poll. III. 41 et VI. 13.
[6]) Codex Θουκυδίδης α', sed intelligitur IV. 12. 35. 129. Cf. Poll. I. 125. IV. 189. Antiatt. Bekk. p. 114. 19.
[7]) Hinc emenda Hesychium.
[8]) Cf. Hesychium. Posidippi locum habet Athen. III. 87 F.
[9]) Respicitur credo Plat. Phaed. 117 B.
[10]) Laudantur Plat. Phaed. 96 B et Hom. Odyss. ι. 246 et Iliad. λ. 307. Codex πολλῶν δὲ τροφῆ.
[11]) Cf. Intt. ad Zenob. 385 et Apostol. 1599[c] qui laudant Eustath. p. 1264. 15.
[12]) Cf. Hesychium. Res obscura est, de qua vide Meier. Att.

τρία Στησιχόρου· ϛροφήν, ἀντίϛροφον, ἐπῳδόν· ἐπῳδικὴ γὰρ πᾶσα ἡ τοῦ Στησιχόρου ποίησις· καὶ τὸν τελέως ἄμουσόν τε καὶ ἀπαίδευτον λοιδοροῦντες ἔφασκον ἂν οὐδὲ τὰ τρία Στησιχόρου εἰδέναι [1].

τρία καὶ δύο· ἐπὶ τῆς κράσεως τοῦ οἴνου· Ἀριϛοφάνης Ἱππεῦσιν· ἔχε καὶ πιεῖν κεκραμένον τρία καὶ δύο. Ἡσίοδος· Τρὶς ὕδατος προχέειν τὸ δὲ τέτρατον ἱέμεν οἶνον. Εὔπολις Αἰξίν· Διόνυσε χαῖρε· μήτι πέντε καὶ δύο· τοιοῦτο καὶ τὸ παροιμιακόν· Ἢ πέντε πίνειν ἢ τρί' ἢ μὴ τέτταρα· τὸ μὲν γὰρ πέντε ἐϛὶ τρία καὶ δύο, τὸ δὲ τρία ἥμισυ καὶ διπλάσιον, τὸ δὲ τέτταρα ἴσον ἴσῳ [2].

τριαχθῆναι· λέγουσιν οἱ παλαιϛρικοὶ ἀντὶ τοῦ τρὶς πεσεῖν· ἢ τὸ τρὶς ϛοχάσαντα νικηθῆναι ϛάδιον δίαυλον δόλιχον· οὕτως Θουγενίδης ἐν Δικαϛαῖς [3].

τριακοντούτης· προοξυτονεῖται· κοινὸν δὲ ἐϛὶν ἀμφοτέρων τῶν γενῶν· καὶ τὰ πλήθη τριακοντούτεις· καὶ παρὰ Θουκυδίδῃ αἱ τριακοντούτεις σπονδαὶ εἴρηται· καὶ Ἀριϛοφάνης [4].

Τριβαλλοί· οἱ ἐν τοῖς βαλανείοις ἀναγώγως διατριβόμενοι· Δημο-

---

Proc. p. 80. Hoc notandum est non intelligi Phrynichum grammaticum, qui a Photio nusquam laudatur vel exscribitur. Sed ipsum nomen mihi suspectum est: talia Photius plerumque docet fide Philochori. Adi praeterea Polluc. VIII. 100. Ceterum melius scribes: πρῶτον μὲν — δεύτερον δέ.

[1]) Cf. Diogen. 614 et Hesychium.

[2]) Codex omittit ἔχε (καὶ) et (ἢ) πέντε. Eadem vitia apud Eustathium p. 1624. 44 qui similia laudat e lexico rhetorico. Aristophanis locus legitur Eq. 1187. Proverbium est apud Plaut. Stich. V. 4. 25. Cf. Hesych. in v. et v. ἄρ' οἴσει τρία, Pollucem VI. 18 et plura apud Athen. I. 29 D et X. 426 E. Adde Plutarch. Symp. 657 B. C. Ceterum articulus legitur in margine a m. ant.

[3]) Codex παλαιϛρητικοὶ — τρεῖς παισίν. corrector πεσεῖν. Paulo brevius apud Antiatt. Bekk. p. 114. 23 et omisso Thugenidis nomine, sed ibi rectius τροχάσαντα quam ϛοχάσαντα. Vide quoque Suidam. Ad rem conf. Cobetum Philostr. p. 77. Rutgers. Olympion. p. 36.

[4]) Toupius in fine excidisse suspicatur τριακοντούτιδας ut intelligatur Arist. Acharn. 252. Thucydidis loci sunt I. 23. 115. II. 2.

σθένης ἐν τῷ κατὰ Κόνωνος οἰκίας καὶ Τριβαλλοὺς ἐπωνυμίαν ἔχειν· οἱ δὲ τοὺς εἰκαίως τοὺς βίους κατατρίβοντας [1]).

τρίβωνα· στολισμόν [2]).

τριβήν· ὑπέρθεσιν.

τριβώνιον· ἱμάτιον παλαιόν [3]).

τρίβωνος· ἔμπειρου [4]).

τριβωνοφόρος· ὁ φορῶν στολὴν ἔχουσαν σημεῖα ὡς γαμμάτια [5]).

Τρίγωνον· δικαστήριον Ἀθήνησιν, ὡς Παράβυστον καὶ Μέσον [6]).

τρίγωνος· ἀρρενικῶς μουσικὸν ὄργανον ψαλτηρίῳ τὴν ἐξάρτυσιν ὁμοίαν ἔχον [7]).

τριγχός· τειχίον, στεφάνη, περίφραγμα [8]).

τρικαλίνδητος· τρικυλίνδητος.

τρίμμα· δι' ἀρωμάτων πόμα [9]).

τρίμνων· τριῶν μνῶν ἄξιον.

τριήρεις· πλοῖα πολεμικά, ἃ καλοῦνται λέβερνοι [10]).

τρικέφαλος· ὁ Ἑρμῆς, ὥσπερ διδάσκων τὰς ὁδούς, καὶ ἔχων ὑπογραφὴν ποῦ μὲν αὕτη φέρει ἡ ὁδός, ποῦ δ' ἐκείνη· ἴσως δὲ πρὸς ἑκάστην ὁδὸν κεφαλὴν εἶχεν· ἔστιν δὲ ὁ ἀναθεὶς τὸν τρικέφαλον Ἑρμῆν, ὡς Φιλόχορός φησι, Προκλείδης Ἱππάρχου ἐραστής [11]).

---

[1]) Codex τοὺς εἰκαίους καὶ τούς, corr. ex Etym. M. p. 765. 55. Demosthenis locus est c. Conon. § 39.

[2]) Hesych. Intelligitur forsasse Menandri locus apud Diog. Laert. VI. 93.

[3]) Hesych. interpr. πάλλιον, sed vide Schol. Plat. Symp. 219 B, ubi τριβώνιον dicitur ἱμάτιον παλαιὸν καὶ τετριμμένον.

[4]) Hesychius.

[5]) Hinc supple Hesych. Conf. Schol. Plat. Symp. 219 B ubi perperam γραμμάτια.

[6]) Cf. Harpocr. Lex. rhet. Bekk. p. 307. 12. Poll. VIII. 121. Schol. Arist. Vesp. 120.

[7]) Codex ἐξάρτησιν. Cf. Lex. rhet. Bekk. p. 309. 25 et Hes. Plura Athen. IV. 183 E.

[8]) Melius in Lexic. Bachm. στεφάνη περιπεφραγμένον. Cf. Hesychium.

[9]) Cf. Hesychium, Polluc. VI. 18, Athen. I. 31 E.

[10]) Ultima verba Hesychius omittit.

[11]) Haec olim ex Suida in Harpocrationem illata, vid. Dind. Cf. Sluiter. Lect. Andocid. p. 41, Muellerum ad Philochori fragmt. 69.

τριωβολιαῖος· τριῶν ὀβολῶν ἄξιος, εὔωνος [1]).
τριοττίς· ὄρνεόν τι [2]).
τρίορχος· ὄρνεον [3]).
τροπαία· ἡ ἐναντία πνοή· οὕτως Σοφοκλῆς [4]).
τρίποδα λέβητα· ἐν Δελφοῖς ἐπὶ τρίποδα κείμενον μαντικοῦ Ἀπόλλωνος [5]).
τρὶς ἓξ ἢ τρεῖς κύβοι· οἱ μὲν τρὶς ἓξ νίκην, οἱ δὲ τρεῖς κύβοι κενοί· καὶ τὸ παρ' Εὐριπίδῃ τοιοῦτον· Βέβληκ' Ἀχιλλεὺς δύο κύβω καὶ τέτταρα· τριῶν γὰρ ὄντων τῶν ἀναρριπτουμένων βόλων, δύο μὲν κενοὺς αὐτόν φησι βάλλειν, ἕνα δὲ τὸν τέταρτον· διττῶς οὖν ὁ κύβος ὅ, τε ἀναρριπτούμενος εἴτε κενὸς εἴτε πλήρης εἴη καὶ ἰδίως ὁ κενός· ὅτι δὲ ὁ τρὶς ἓξ βαλὼν κατώρθου καὶ Αἰσχύλος ἐν Ἀγαμέμνονι παρίστησι· Τὰ δεσποτῶν γὰρ εὖ πεσόντα θήσομαι, Τρὶς ἓξ βαλούσης τῆς ἐμῆς φρυκτωρίας [6]).
τριτημόριον· τοὺς ἓξ χαλκοῦς εἴρηκε Φιλήμων τοῦ ὀβολοῦ τριτημόριον· θαυμάζω οὖν ἐγὼ πῶς τεταρτημόριόν εἰσι δύο χαλκοῖ, τριτημόριον δὲ ἕξ· εἰ μὴ ἄρα ἐκεῖνο μὲν κυρίως ὠνομάσθη τέταρτον μέρος τοῦ ὀβολοῦ, τὸ δὲ τριτημόριον ὡς ἀπὸ τεσσάρων μερῶν ὄντων ἀνὰ δύο χαλκοῦς τρία ἔχον μέρη, ἓξ χαλκοῦς συνάγει [7]).

---

1) Codex τριοβολιμαῖος. Corr. Cobet. qui add. quoque ἄξιος, Mnem. VII. 477. Cf. Eustath. p. 1405. 28.

2) Codex τριοπίς. Vide infra. Cf. Hesych. et Eust. p. 976. 36. Plura HSt. VII. 2449 D.

3) Cf. Hesychium. Habet Arist. Av. 1206.

4) Codex τρίπαια, sed vide HSt. VII. 2497 C et Lobeck. Par. p. 314. Cf. Prolegom. p. 171.

5) Cf. Apollon. et Athen. II. 37 F. Item Wieselerum in Annal. Jahnii LXXXIX. p. 245. Codex μ. τοῦ ἀ.

6) Supra v. ἢ τρὶς ἕξ, ubi vide quae adnotavimus. Similia apud Hesych., Schol. Plat. Legg. XII. 968 E, Eust. p. 1083. 63 qui docet Euripidis versiculum e Telepho esse, sed poetam μαθόντα ἐπ' αὐτῷ χλευασθῆναι ὡς εὐτελεῖ, αἰδεσθέντα περιελεῖν ὅλον τὸ ἐπεισόδιον. Cf. p. 1414. 2 et Arist. Ran. 1400. Zenob. 185. Cum Schol. Plat. convenit Zenob. 323. Aeschyli versus sunt in Agam. 32.

7) Philemonis versus vide apud Pollue. IX. 65. 66. Adde Harpocr. Hesych. Lex. rhet. Bekk. p. 306. 26. De nominis forma cf. HSt. VII. 2472 B.

Τριτογενής· ἡ Ἀθηνᾶ· ἤτοι ὅτι ἐκ τῆς νηδύος καὶ τῆς μήτρας καὶ τῆς κεφαλῆς τοῦ Διὸς ἐξῆλθεν, ἢ ὅτι παρὰ τῷ Τρίτωνι τῷ ποταμῷ Λιβύης ἐγεννήθη, ἢ τρίτῃ φθίνοντος ὡς καὶ Ἀθηναῖοι ἄγουσιν, ἢ ὅτι τρίτη μετ' Ἄρτεμιν καὶ Ἀπόλλωνα ἐγεννήθη, ἢ ἐπεὶ τριτὼ τὴν κεφαλὴν Ἀθαμᾶνες λέγουσιν, ἢ ἐπεὶ παρὰ Τρίτωνι ἐγένετο, ἢ τοῦ τρεῖν καὶ εὐλαβεῖσθαι αἰτία, ἢ γεννητική, ὅτι ἀπελούσατο ἐν τῷ Τρίτωνι τῷ Λιβύης ποταμῷ [1]).

τριτεύς· τὸ τρίτον τοῦ μεδίμνου [2]).

τρίτον ἡμίδραχμον· δύο δραχμαὶ καὶ τῆς τρίτης ἥμισυ, ὡς εἶναι δύο δραχμὰς καὶ τριώβολον [3]).

Τριτοπάτορες· Δήμων ἐν τῇ Ἀτθίδι φησὶν ἀνέμους εἶναι τοὺς τριτοπάτορας, Φιλόχορος δὲ τοὺς Τριτοπάτρεις πάντων γεγονέναι πρώτους· τὴν μὲν γὰρ γῆν καὶ τὸν ἥλιόν, φησιν, ὃν καὶ Ἀπόλλωνα τότε καλεῖν, γονεῖς αὐτῶν ἐπίσαντο οἱ τότε ἄνθρωποι, τοὺς δ' ἐκ τούτων τρίτους πατέρας. Φανόδημος δὲ ἐν ϛ' φησιν ὅτι μόνοι Ἀθηναῖοι θύουσι καὶ εὔχονται αὐτοῖς ὑπὲρ γενέσεως παίδων, ὅταν γαμεῖν μέλλωσιν, ἐν δὲ τῷ Ὀρφέως Φυσικῷ ὀνομάζεσθαι τοὺς Τριτοπάτορας Ἀμαλκείδην καὶ Πρωτοκλέα καὶ Πρωτοκρέοντα, θυρωροὺς καὶ φύλακας ὄντας τῶν ἀνέμων. Ὁ δὲ τὸ Ἐξηγητικὸν ποιήσας Οὐρανοῦ καὶ Γῆς φησιν αὐτοὺς εἶναι, ὀνόματα δὲ αὐτῶν Κόττον Βριάρεων καὶ Γύγην [4]).

---

[1]) Codex *ἐγενήθη φθίνοντος* — *ἐπεὶ τρίτων* — *ἀπελούσατο τῶ.* Cf. Nicandrum Colophonium apud Hesych. v. *τριτώ*. Eustath. p. 504. 27. Schol. Apoll. Rhod. IV. 1311. Schol. Aristoph. Nub. 989.

[2]) Cf. Poll. IV. 168.

[3]) Cf. Harp. et Lex. rhet. Bekk. p. 306. 19. M. Schmidt. Didym. p. 348.

[4]) Similia sed brevius apud Hesychium, in Lex. rhet. Bekk. p. 307. 16. Qui composuit *τὸ ἐξηγητικὸν* mihi videtur esse Timosthenes, qui de eo argumento disputare potuit ad Apoll. Rhod. IV. 1311. Laudatur eius *Ἐξηγηνικὸν* in Apollonium a Scholiasta ad III. 847. Ad illum locum Timosthenes disputavit de nomine *Δαῖρα*, de quo egit Aelius Dionysius, cf. Eustath. p. 456. 13 et 648. 41. Cf. quoque Schol. Apoll. Rhod. IV. 1695 et Pausaniam apud Photium v. *κατουλάδα*. Quod ad *τριτοπάτορας* attinet, de obscura re omnia congessit HSt. VII. 2474 D. Ceterum ne ignorasse videar, Casaubonus in Animm.

τριτημόριον· σαθμόν τινα καλοῦσιν [1]).

τρίτος ἀρισεροῦ· ἐν τοῖς τραγικοῖς χοροῖς τριῶν ὄντων σοίχων καὶ ζυγῶν, ὁ μὲν ἀρισερὸς σοῖχος ὁ πρὸς τῷ θεάτρῳ ἦν, ὁ δὲ δεξιὸς πρὸς τῷ προσκηνίῳ· συνέβαινεν οὖν τὸν μέσον τοῦ ἀρισεροῦ σοίχου τὴν ἐντιμοτάτην καὶ τὴν οἷον τοῦ πρωτοσάτου χώραν ἐπέχειν καὶ σάσιν [2]).

τρίτου κρατῆρος· τοῦ σωτῆρος, ὃν καὶ τέλειον ἔλεγον· τὸν μὲν πρῶτον Ὀλυμπίων φασί, τὸν δὲ δεύτερον ἡρώων, τὸν δὲ τρίτον Ὀλυμπικῶς τῷ Σωτῆρι τε καὶ Ὀλυμπίῳ [3]).

τρίτος κρατήρ· Διὸς τελείου σωτῆρος· πρῶτος γὰρ τέλειος ἀριθμὸς ὁ τρία, ὅτι ἔχει ἀρχὴν καὶ τέλος καὶ μέσα, ὡς Φιλόχορος ἐν τῷ περὶ Ἡμερῶν [4]).

τριοττίς· περιτραχήλιος κόσμος ἔχων τρεῖς οἱονεὶ ὀφθαλμούς· καὶ μήποτε παρὰ τοὺς ὄσσους ὡς ἀμβλυώττειν ἐν τῷ τ [5]).

Τριτοπάτωρ· Τριτοπάτρεις οἱ μὲν ἀνέμους, Φιλόχορος δὲ τοὺς πρώτους ἐκ Γῆς καὶ Οὐρανοῦ, ἄρξαντας δὲ γενέσεως· ἐν δὲ τοῖς Ὀρφικοῖς ἀνέμων παῖδας [6]).

τριττύς· τριάς [7]).

τριττύαν· θυσίαν· Καλλίμαχος μὲν τὴν ἐκ κριοῦ ταύρου καὶ

---

in Athen. IX. 18 coniicit τὸν τὸ Ἐξηγητικὸν ποιήσαντα Clidemum esse. Locus desumtus est ex Epitome Harpocrationis itaque delevissem nisi Dindorfius primus et solus in Harpocratione edidisset. Nolui loco carere qui Editione Dindorfiana Harpocrationis careant.

[1]) Codex τρίτην ἱερῶν quod miror non emendasse Porsonum.

[2]) Cf. Lex. rhet. Bekk. p. 444. 15 ubi ἀρισεροσάτης laudatur e Cratino. Adde Polluc. II. 161. IV. 109.

[3]) Verba τρίτου κρατῆρος Sophoclis sunt, qui in Nauplio haec dixit sec. Schol. Pindar. Isthm. V. 10: Ζεῦ παυσίλυπε καὶ Διὸς σωτηρίου Σπονδὴ τρίτου κρατῆρος. Quod legitur in fine glossae τὸν δὲ τρίτον descriptum est e Plat. Rep. VIII. 583 B. Boethi observatio est, quam plenius servavit Schol. Plat. Phileb. 66 D. Cf. gl. seq. et Hesych.

[4]) Plenius legitur apud Schol. Plat. Charmid. 167 A. Duplex glossa Platonica, h. e. excerpta ex utroque Boethi libro.

[5]) Codex τριόττης. Vide supra ante τρίορχος, ubi laudavi Dindorf. in Thes. VII. 2449 C.

[6]) Cf. supra.

[7]) Hesychius.

κάπρου, Ἴϛρος δὲ ἐν μὲν Ἀπόλλωνος ἐπιφανείαις ἐκ βοῶν αἰγῶν ὑῶν ἀρρένων, πάντων τριετῶν [1]).

τριττύς· Φυλῆς μέρος τρίτον· καὶ τριττύαρχος ὁ ἄρχων [2]).

τρίτῳ καὶ τετάρτῳ ἔτει· ἀντὶ τοῦ πρὸ τριῶν καὶ τεσσάρων ἐτῶν· οὕτως Ἀντιφῶν [3]).

τρίτῳ Φάει· τρίτῃ ἡμέρᾳ.

τριχακτόν· κτένιον.

τριχαπτόν· τὸ βαμβύκινον ὕφασμα, ἱμάτιον πολυτίμητον [4]).

τριχίδες· θρῖσσαι, διὰ τὸ λεπτὰ ἔχειν ὀϛᾶ [5]).

τριχόβρως· θηρίον ὃ τοὺς τῶν περικεφαλαίων λόφους διαβιβρώσκει [6]).

τρόπα· δι' ἀϛραγάλων παιδιά [7]).

τριχολογεῖν· τὰς τρίχας ἀναλέγεσθαι καὶ περὶ αὐτῶν φροντίζειν.

τροπαῖα· νικητήρια [8]).

τροπή· δίωξις [9]).

τροπηλίς· ἡ τῶν σκορόδων δέσμη, ἀπὸ τοῦ εἰλῆσθαι· ἐν δὲ τοῖς Σκίροις τῇ ἑορτῇ ἤσθιον σκόροδα ἕνεκα τοῦ ἀπέχεσθαι Ἀφροδισίων, ὡς ἂν μὴ μύρων ἀποπνέοιεν· ὡς Φιλόχορος ἐν τῇ πρὸς Ἄλυπον ἐπιϛολῇ [10]).

τροπίας οἶνος· ὁ τετραμμένος καὶ ἐξεϛηκώς· Ἀριϛοφάνης Δαιταλεῦσιν· Ταχύ νυν πέτου καὶ μὴ τροπίαν οἶνον φέρε [11]).

---

[1]) Cf. Thes. VII. 2477 B.

[2]) Cf. Schol. Plat. Rep. V. 475 A et Lexic. rhetor. Bekk. p. 306. 24.

[3]) Cf. Antiatt. Bekk. p. 114. 26. Suidas pro Antiphonte laudat Antiphanem. Photii Codex ἀντιφα. Porsonus Ἀντιφῶν.

[4]) Cf. Hesychium. Poll. II. 24. X. 32.

[5]) Vide vocabulum apud Arist. Eq. 662. Acharn. 551 ibiq. Schol. Plura habet Athen. VII. 328 E. Hesychii glossa corrupta est.

[6]) Refer ad Arist. Acharn. 1111. Cf. Hesych. et Poll. II. 24.

[7]) Codex τροπάδια. Dixit Cratinus Πυλαίᾳ. Cf. Schol. Plat. Lysid. 206 E et de eo loco Meinckium p. 113. Adde Polluc. IX. 103.

[8]) Hesychius.

[9]) Hesychius τροπαί.

[10]) Cf. Hesychium v. τριτοπηλίς. Vox legitur apud Arist. Acharn. 813. Nondum persanata est haec glossa. Codex κήροις m. pr. σκήροις id est σκίροις corrector.

[11]) Cf. Hesychium. Poll. I. 248. Moer.

τροπίδια· τὰ εἰς τρόπιν νεὼς εὐθετοῦντα ξύλα· μεταφορικῶς δὲ καὶ ἐπὶ καταβολῆς τινος καὶ ἀρχῆς πράγματος· καὶ ὁ τόπος ἐφ' οὗ τίθεται ἡ τρόπις· οὕτως Πλάτων [1]).

τροπωτῆρες· οἱ ἱμάντες οἱ ἐν τοῖς πλοίοις, ἐν οἷς αἱ κῶπαι περὶ τοὺς σκαλμοὺς περιδέονται [2]).

τρόπον· ἦθος [3]).

τρόπον τινά· ἀντὶ τοῦ καλῶς ἂν [4]).

τροποφορεῖν.

τροφαλίς· τυρός· οὕτως Εὔπολις [5]).

τροφή· ἀντὶ τοῦ ἀγωγὴ καὶ παιδεία· καὶ τραφέν· ἀντὶ τοῦ ἀχθέν, παιδευθέν· ἐνίοτε δὲ καὶ ὁμοίως ἡμῖν· Πολιτείας· ἐπιθυμοῦμεν δ' αὖ τρίτῳ τινὶ τῶν περὶ τὴν τροφὴν καὶ γέννησιν· τροφὴν μὲν γὰρ βρῶμα καὶ πῶμα λέγει, γέννησιν δὲ τὰ Ἀφροδίσια· ἐν δὲ τρίτῳ Πολιτείας· καὶ ὑπὸ τῷ σοφωτάτῳ Χείρωνι τεθραμμένος· ἀντὶ τοῦ πεπαιδευμένος· ἵνα μὴ ἐναντιῶται Ὁμήρῳ πεπαιδεῦσθαι λέγοντι τὸν Ἀχιλλέα παρὰ Χείρωνι οὐχὶ τεθράφθαι [6]).

τρόφιμος· ὁ νεώτερος οἰκοδεσπότης [7]).

τροχάζειν· διατρέχειν [8]).

τροχηλατεῖν· ἐλαύνειν [9]).

τρόχμαλον· σωρὸς λίθου· οὕτως Ἀριστοφάνης [10]).

---

[1]) Plat. Legg. VII. 803 A, ubi nunc bis τροπιδεῖα.

[2]) Convenit Lex. rhet. Bekk. p. 309. 6. Cf. Poll. I. 87. X. 134. Photius habere videtur e lexico rhetorico, cf. Eustath. p. 1517. 59. Cf. Hesych.

[3]) Hesychius.

[4]) Cf. Hesychium.

[5]) Eupolidis locum vide apud Schol. Arist. Vesp. 925, sed nondum persanatus est ne a Meinekio quidem. Phryn. Bekk. p. 65. 23 cogitabat Arist. Vesp. 838. Plura vide in Thes. VII. 2512 B.

[6]) Codex ἐπιθυμοῦμαι δ' αὖ τρίτων — Χείρονι — ἐναντιῶνται. Platonis loci sunt Rep. IV. 436 A. III. 391 C. Cf. Observ. meas Crit. in Platonem, 1864 p. 55.

[7]) H. e. filius herilis. Videantur Menander in fragmt. 312 Meinekii et Donatus ad Ter. II. 2. 58. Poll. III. 73. Hesych. Plura in Thes. VII. 2517.

[8]) Cf. Antiatt. Bekk. p. 114. 18.

[9]) Hesychius.

[10]) Codex τροχίμαλλον. Corr. Albertus. Cf. Hesychium.

τροχισθεῖσα· βασανισθεῖσα· ἀπὸ τοῦ τροχοῦ ὅπερ ἐστὶν ὄργανον βασανιστικὸν διατεῖνον τὰ σώματα[1]).

τρόχμαλος· ἡ ἐκ λίθων στρογγύλων αἱμασιά, ἡ περιῳκοδομημένη τοῖς χωρίοις[2]).

τρόχις· ἄγγελος[3]).

τρόχον· δρόμον· Εὐριπίδης Μηδείᾳ· Ἀλλ' οἵδε παῖδες ἐκ τρόχων πεπαυμένοι[4]).

τρύβλιον· ὀξυβάφιον, ἐμβάφιον, πινάκιον, ποτήριον[5]).

τρύγη· παντὸς καρποῦ συγκομιδή[6]).

τρυγόνα ψάλλειν· παροιμία· ἐπὶ τῶν φαύλως πραττόντων· ἴσως παρὰ τὸ τρύζειν· Ὡς μή μοι τρύζητε[7]).

τρύγοιπος· ὑλιστήρ· οὕτως Ἀριστοφάνης[8]).

τρυγών· τὸ ζῷον· παίζεται δὲ εἰς τὴν τῶν γυναικῶν συνουσίαν[9]).

